(the)-world has-been-crucified then he-adds and-I to-the world how
λοιπὸν σταυροῦται ὁ ἄνθρωπος τῷ κόσμῳ; Ὅτ' ἂν
henceforth is-crucified the man to-the world when —

μετὰ τὴν ἀπαλλαγὴν τῶν ἔξω πραγμάτων ἀγωνίζεται
after the release from-the outward affairs he-strives
καὶ πρὸς αὐτὰς τὰς ἡδονάς, πρὸς αὐτὰς τὰς ἐπιθυμίας
also against the-very the pleasures against the-very the lusts
τῶν πραγμάτων, καὶ πρὸς τὰ θελήματα αὐτοῦ, νεκρώσει
for-the things and against the wills his he-mortifies
τὰ πάθη αὐτοῦ· τότε καὶ αὐτὸς σταυροῦται τῷ κόσμῳ,
the passions his then also he is-crucified to-the world
καὶ ἀξιοῦται, κατὰ τὸν Ἀπόστολον, εἰπεῖν τό,
and is-deemed-worthy according-to the Apostle to-say the(-word)
Ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ. Οἱ Πάτρες
to-me (the)-world has-been-crucified and-I to-the world the Fathers
ἡμῶν, καθὼς εἴπομεν, σταυρώσαντες ἑαυτοῖς τὸν κόσμον,
our as we-said having-crucified to-themselves the world
ἐσπούδασαν δι᾽ ἀγώνων, καὶ ἐσταύρωσαν ἑαυτοὺς τῷ
were-eager through contests and crucified themselves to-the
κόσμῳ. Ἡμεῖς μὲν ἐδόξαμεν σταυροῦν ἑαυτοῖς τὸν κόσμον,
world we indeed seemed to-crucify to-ourselves the world
ὅτι ἀφήκαμεν αὐτὸν καὶ ἤλθομεν εἰς τὸ μοναστήριον,
because we-left it and came to the monastery
ἑαυτοὺς δ᾽ οὐ θέλομεν σταυρῶσαι τῷ κόσμῳ· ἔτι γὰρ
ourselves but not we-wish to-crucify to-the world still for
ἔχομεν τὰς ἡδονὰς αὐτοῦ, ἀκμὴν ἔχομεν τὰς προσπαθείας
we-have the pleasures its still we-have the attachments
αὐτοῦ, προσπάσχομεν τῇ δόξῃ αὐτοῦ, προσπάσχομεν
its we-are-attached to-the glory its we-are-attached
βρώμασιν ἱματίοις. Ἐργαλεῖον καλὸν ἂν ᾖ, προσπάσχομεν
to-foods to-garments (a)-tool good if it-be we-are-attached
αὐτῷ, καὶ ἀφοῦμεν τὸ μικρὸν ἐργαλεῖον ἐκεῖνο ποιῆσαι ἐν
to-it and we-let the small tool that to-make in
ἡμῖν, ὡς εἶπεν ὁ ἀββᾶς Ζωσιμᾶς, καὶ ἐδόξαμεν ἐξελθεῖν
us as said the abba Zosimas and we-seemed to-go-out

τοῦ κόσμου, καὶ ἀφεῖναι τὰ αὐτοῦ, καὶ ἐρχόμεθα εἰς
from-the world and to-leave the(-things) its and we-come to
τὸ μοναστήριον, καὶ δι' εὐτελῶν πραγμάτων πληροῦμεν
the monastery and through cheap things we-fill-up
τὴν προσπάθειαν αὐτοῦ· τοῦτο δὲ πάσχομεν ἀπὸ πολλῆς
the attachment its this and we-suffer from much
ἀφροσύνης ὅτι ἀφέντες μεγάλα καὶ πολύτιμα πράγματα,
folly that having-left great and very-precious things
εἰς ἐλάχιστά τινα πληροῦμεν τὰ πάθη ἡμῶν. Ἕκαστος
in least some we-fill-up the passions our each
γὰρ ἡμῶν ὃ εἶχεν, ἀφῆκεν, ὁ ἔχων μεγάλα, τὰ
for of-us what he-had left the(-one) having great(-things) the
μεγάλα, καὶ ὁ ἔχων εἴ τι δήποτε, καὶ αὐτὸς
great(-things) and the(-one) having if anything whatever also he
ὃ εἶχεν ἀφῆκεν, ἕκαστος πρὸς τὴν δύναμιν αὐτοῦ,
what he-had left each according-to the power his
καὶ ἐρχόμεθα εἰς τὸ μοναστήριον, καὶ καθὼς εἶπον, δι'
and we-come to the monastery and as I-said through
εὐτελῶν πραγμάτων, καὶ μηδαμινῶν, πληροῦμεν τὴν
cheap things and worthless we-fill-up the
προσπάθειαν ἡμῶν. Οὐκ ὀφείλομεν δὲ οὕτως ποιεῖν· ἀλλ'
attachment our not we-ought and so to-do but
ὥσπερ ἀπεταξάμεθα τῷ κόσμῳ καὶ τοῖς πράγμασιν αὐτοῦ,
as we-renounced the world and the things its
οὕτως ὀφείλομεν καὶ αὐτῇ τῇ προσπαθείᾳ τῇ περὶ
thus we-ought also the-very the attachment the(-one) concerning
τὰς ὕλας ἀποτάξασθαι, καὶ εἰδέναι τί ἐστιν αὕτη ἡ
the material(-things) to-renounce and to-know what is this the
ἀποταγή, καὶ διὰ τί ἤλθομεν εἰς τὸ μοναστήριον, καὶ τί
renunciation and for what we-came to the monastery and what

ἐστι τὸ σχῆμα ὃ λαμβάνομεν, καὶ πρὸς αὐτὸν καταρτίζειν
is the habit which we-receive and to it to-fit
ἑαυτούς, καὶ ἀγωνίζεσθαι κατὰ τοὺς πατέρας ἡμῶν.
ourselves and to-strive according-to the fathers our

12 Τὸ σχῆμα ὃ φοροῦμεν, κολόβιόν ἐστι, μὴ ἔχον χειρίδια,
the habit which we-wear (a)-tunic is not having sleeves
καὶ ζώνη δερματίνη, καὶ ἀνάλαβος, καὶ κουκούλιον. Ταῦτα
and (a)-belt leathern and (a)-scapular and (a)-cowl these
δὲ σύμβολά ἐστι· καὶ ὀφείλομεν μαθεῖν τί σημαίνουσιν
and symbols are and we-ought to-learn what signify
ἡμῖν τὰ σύμβολα τοῦ σχήματος ἡμῶν. Διὰ τί φοροῦμεν
to-us the symbols of-the habit our for what do-we-wear
κολόβιον μὴ ἔχον χειρίδια· τῶν ἄλλων ἐχόντων πάντων
(a)-tunic not having sleeves the others having all
χειρίδια, ἡμεῖς διὰ τί οὐκ ἔχομεν; Τὰ χειρίδια, σύμβολά
sleeves we for what not do-we-have the sleeves symbols
εἰσι τῶν χειρῶν. Αἱ δὲ χεῖρες λαμβάνονται εἰς πρακτικήν.
are of-the hands the and hands are-taken for practice
Ὅτε οὖν ἔρχεται λογισμὸς ἐνεργῆσαί τι διὰ τῶν
when then comes (a)-thought to-work something through the
χειρῶν τοῦ παλαιοῦ ἀνθρώπου, ὑπόθου κλέψαι ἢ δεῖραι,
hands of-the old man suppose to-steal or to-beat
ἢ ἁπλῶς οἵαν δήποτε ἁμαρτίαν ποιῆσαι διὰ τῶν
or simply whatever-kind at-all sin to-do through the
χειρῶν, ὀφείλομεν προσέχειν τῷ σχήματι ἡμῶν, καὶ μαθεῖν,
hands we-ought to-attend to-the habit our and to-learn
ὅτι οὐκ ἔχομεν χειρίδια· τοῦτ᾽ ἔστιν, οὐκ ἔχομεν χεῖρας
that not we-have sleeves that is not we-have hands
τοῦ ἐνεργῆσαί τι τοῦ παλαιοῦ ἀνθρώπου. Ἔχει δὲ τὸ
of-the to-work anything of-the old man has and the
κολόβιον ἡμῶν καὶ σημεῖόν τί ποτε πορφυροῦν· τί θέλει
tunic our also mark some at-all purple what means

τὸ σημεῖον τὸ πορφυροῦν; Ἕκαστος στρατευόμενος τῷ
the mark the purple each(-man) serving-as-soldier to-the
βασιλεῖ, πορφύραν ἔχει εἰς τὸ χλανίδιον αὐτοῦ. Ἐπειδὴ γὰρ
king purple has on the cloak his since for
ὁ βασιλεὺς πορφύραν φορεῖ, πάντες οἱ στρατευόμενοι
the king purple wears all the(-ones) serving-as-soldiers
αὐτῷ, βάλλουσιν πορφύραν εἰς τὸ χλανίδιον αὐτῶν, τοῦτ᾽
to-him put purple on the cloak their that
ἔστιν τὸ βασιλικὸν ἔνδυμα· ἵνα διὰ τούτου δείξωσιν ὅτι
is the royal garment that through this they-may-show that
τοῦ βασιλέως εἰσί, καὶ ὅτι αὐτῷ στρατεύονται· οὕτως καὶ
of-the king they-are and that for-him they-serve-as-soldiers thus also
ἡμεῖς λαμβάνομεν τὸ σημεῖον τὸ πορφυροῦν εἰς τὸ κολόβιον
we receive the mark the purple on the tunic
ἡμῶν, δεικνύοντες ὅτι τῷ Χριστῷ ἐστρατεύθημεν, καὶ
our showing that — for-Christ we-have-enlisted and
χρεωστοῦμεν ὑπομεῖναι ὅλα τὰ παθήματα αὐτοῦ, ὅσα
we-owe to-endure all the sufferings his as-many-as
ὑπέμεινε δι᾽ ἡμᾶς. Καὶ γὰρ ὅτε ἔπαθεν ὁ Δεσπότης ἡμῶν,
he-endured for us and for when suffered the Master our
ἐφόρεσε τὸ πορφυροῦν ἱμάτιον. Πρῶτον μὲν ὡς βασιλεύς·
he-wore the purple garment first indeed as king
αὐτὸς γάρ ἐστιν ὁ βασιλεὺς τῶν βασιλευόντων, καὶ Κύριος
he for is the king of-the reigning(-ones) and Lord
τῶν κυριευόντων· ἔπειτα δὲ καὶ ὡς ἐμπαιζόμενος ὑπὸ τῶν
of-the lording(-ones) then but also as being-mocked by the
δυσσεβῶν ἐκείνων. Καὶ ἡμεῖς οὖν ἔχοντες τὸ σημεῖον τὸ
impious those and we then having the mark the
πορφυροῦν, ἐπαγγελλόμεθα, ὡς εἶπον, ὑποφέρειν πάντα τὰ
purple promise as I-said to-bear all the
παθήματα αὐτοῦ, καὶ ὥσπερ ὁ στρατιώτης οὐκ ἀφῇ
sufferings his and as the soldier not may-leave

τὴν στρατίαν αὐτοῦ, καὶ ὑπάγων γίνεται γεωργὸς ἢ
the service his and going becomes (a)-farmer or
πραγματευτής, ἐπεὶ ἐκπίπτει τῆς ἀξίας αὐτοῦ, ὡς λέγει ὁ
(a)-trader since he-falls-from the dignity his as says the
Ἀπόστολος· Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου
Apostle no-one serving-as-soldier entangles-himself in-the of-the life
πραγματείαις· ἵνα τῷ στρατολογήσαντι ἀρέσειεν· οὕτως
affairs that the(-one) having-enlisted(-him) he-may-please thus
καὶ ἡμεῖς ὀφείλομεν ἀθλῆσαι καὶ ἀμεριμνῆσαι ἀπὸ πάντων
also we ought to-contend and to-be-free-from-care from all
τῶν τοῦ κόσμου τούτου, καὶ Θεῷ μόνῳ σχολάσαι, ὡς
the(-things) of-the world this and God alone to-give-time-to as
λέγει, ἵνα ᾖ παρθένος εὐπάρεδρος, καὶ ἀπερίσπαστος.
he-says that she-be (a)-virgin attending-well and undistracted

13 Ἔχομεν δὲ καὶ ζώνην· διὰ τί δὲ φοροῦμεν; Ἡ ζώνη
we-have and also (a)-belt for what and do-we-wear(-it) the belt
ἣν φοροῦμεν, σύμβολόν ἐστι πρῶτον μέν, ὅτι ἐσμὲν
which we-wear (a)-symbol is first indeed that we-are
εὐτρεπισμένοι εἰς ἔργον. Ἕκαστος γὰρ θέλων ἐργάσασθαι,
made-ready for work each for wishing to-work
πρῶτον ζώννυται, καὶ οὕτως ἄρχεται τοῦ ἔργου, ὡς λέγει,
first girds-himself and so begins the work as he-says
Ἔστωσαν αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι· καὶ πάλιν, ἵνα
let-be the loins your girded and again that
ὥσπερ ἐστὶ ἀπὸ νεκροῦ σώματος ἡ ζώνη, οὕτως καὶ ἡμεῖς
as is from (a)-dead body the belt thus also we
νεκρώσωμεν τὴν ἐπιθυμίαν ἡμῶν. Ἔστι γὰρ ἡ ζώνη κατὰ
may-mortify the lust our is for the belt upon
τῆς ὀσφύος ἡμῶν· ἐκεῖ δέ εἰσιν οἱ νεφροί, ἐν οἷς λέγεται
the loins our there and are the kidneys in which is-said
εἶναι τὸ ἐπιθυμητικὸν τῆς ψυχῆς. Καὶ τοῦτό ἐστιν ὃ λέγει
to-be the desiring(-part) of-the soul and this is what says

ὁ Ἀπόστολος· Νεκρώσατε τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς
the Apostle mortify the members your the(-ones) upon the
γῆς, πορνείαν, ἀκαθαρσίαν, καὶ τὰ ἐξῆς. Ἔχομεν καὶ
earth fornication uncleanness and the(-words) following we-have also
ἀνάλαβον· ὁ ἀνάλαβος τίθεται σταυροειδῶς ἐπὶ τοὺς ὤμους
(a)-scapular the scapular is-placed crosswise on the shoulders
ἡμῶν· τοῦτ' ἔστι, τοῦ σταυροῦ τὸ σύμβολον βαστάζομεν
our that is of-the cross the symbol we-carry
εἰς τοὺς ὤμους ἡμῶν, καθὼς λέγει, Ἆρον τὸν σταυρόν
on the shoulders our as he-says take-up the cross
σου καὶ ἀκολούθει μοι. Τί δέ ἐστι σταυρὸς ἀλλ' ἢ τελεία
your and follow me what and is (the)-cross but or perfect
νέκρωσις ἥτις κατορθοῦται ἡμῖν διὰ τῆς εἰς Χριστὸν
mortification which is-accomplished for-us through the in Christ
πίστεως; Ἡ γὰρ πίστις, ὡς λέγει πάλιν εἰς τὸ γεροντικόν,
faith the for faith as says again in the book-of-the-elders
περιστέλλει ἀεὶ τὰ κωλύοντα, καὶ ἀνεμπόδιστον ποιεῖ
removes always the(-things) hindering and unhindered makes
ἡμῖν τὴν ἐνεργασίαν, τὴν φέρουσαν ἡμᾶς εἰς τοιαύτην
for-us the working the(-one) carrying us to such
τελείαν νέκρωσιν· τοῦτ' ἔστιν, ἵνα νεκρώσῃ τις ἑαυτὸν
perfect mortification that is that may-mortify someone himself
ἀπὸ πάντων τῶν τοῦ κόσμου τούτου· καὶ ἐὰν ἀφῆκε
from all the(-things) of-the world this and if he-left
γονεῖς, ἵνα ἀγωνίσηται καὶ πρὸς τὴν προσπάθειαν, ὁμοίως
parents that he-strive also against the attachment likewise
καὶ χρήματα ἢ κτήματα, καὶ ἕκαστον πρᾶγμα ὃ δ' ἂν
also money or possessions and each thing which — —
ἀποτάξηταί τις, θέλῃ καὶ αὐτῇ τῇ προσπαθείᾳ αὐτοῦ
renounces someone he-wish also the-very the attachment his
ἀποτάξασθαι, καθὼς καὶ ἤδη εἴπομεν· καὶ αὕτη ἐστὶν
to-renounce as also already we-said and this is

ἡ τελεία ἀποταγή. Λαμβάνομεν δὲ κουκούλιον· τοῦτο
the perfect renunciation we-receive and (a)-cowl this
δέ ἐστι σύμβολον τῆς ταπεινώσεως. Τὰ νήπια γὰρ τὰ
and is (a)-symbol of-the humility the infants for the
μικρὰ τὰ ἄκακα φοροῦσι κουκούλια· ἄνθρωπος δὲ τέλειος
little the innocent wear cowls (a)-man but perfect
κουκούλιον οὐ φορεῖ. Ἡμεῖς οὖν διὰ τοῦτο φοροῦμεν,
(a)-cowl not wears we then because-of this wear(-it)
ἵνα νηπιάζωμεν τῇ κακίᾳ, ὡς λέγει ὁ Ἀπόστολος· Μὴ
that we-may-be-infants in-the vice as says the Apostle not
παιδία γίνεσθε ταῖς φρεσίν, ἀλλὰ τῇ κακίᾳ νηπιάζετε. Τί
children be in-the minds but in-the vice be-infants what
δέ ἐστι τὸ νηπιάζειν τῇ κακίᾳ; Τὸ νήπιον, τὸ μὴ ἔχον
and is the to-be-infant in-the vice the infant the(-one) not having
κακίαν, ἐὰν ἀτιμασθῇ, οὐκ ὀργίζεται, καὶ ἐὰν τιμηθῇ,
vice if it-be-dishonored not is-angry and if it-be-honored
οὐ κενοδοξεῖ· ἐὰν λάβῃ τις τὰ αὐτοῦ, οὐ θλίβεται·
not is-vainglorious if takes someone the(-things) its not it-is-afflicted
νηπιάζει γὰρ τῇ κακίᾳ, οὐκ ἐπεκδικεῖ πάθος, οὐκ
it-is-an-infant for in-the vice not it-defends (a)-passion not
ἀντιποιεῖται δόξης. Ἔστι πάλιν τὸ κουκούλιον σύμβολον
it-lays-claim-to glory is again the cowl (a)-symbol
τῆς χάριτος τοῦ Θεοῦ. Ὅτι ὥσπερ τὸ κουκούλιον σκεπάζει
of-the grace — of-God because as the cowl covers
καὶ θάλπει τὴν κεφαλὴν τοῦ παιδίου, οὕτως καὶ ἡ χάρις
and warms the head of-the child thus also the grace
τοῦ Θεοῦ σκεπάζει τὸν νοῦν ἡμῶν, ὡς λέγει εἰς τὸ
— of-God covers the mind our as he-says in the
γεροντικόν· ὅτι τὸ κουκούλιον σύμβολόν ἐστι τῆς χάριτος
book-of-the-elders that the cowl (a)-symbol is of-the grace
τοῦ Σωτῆρος ἡμῶν Θεοῦ, σκεπαζούσης ἡμῶν τὸ ἡγεμονικόν,
of-the Savior our God covering our the ruling(-part)

καὶ περιθαλπούσης τὴν ἐν Χριστῷ νηπιότητα διὰ τοὺς
and cherishing the in Christ infancy because-of the
ῥαπίζειν ἀεὶ καὶ τιτρώσκειν ἐπιχειροῦντας δαίμονας. Ἰδοὺ
to-strike always and to-wound attempting demons behold
ἔχομεν καὶ τὴν ζώνην ἐπὶ τῆς ὀσφύος ἡμῶν· ὅ ἐστιν ἡ
we-have both the belt on the loins our which is the
νέκρωσις τῆς ἀλόγου ἐπιθυμίας· καὶ τὸν ἀνάλαβον κατὰ
mortification of-the irrational lust and the scapular on
τῶν ὤμων, ὅ ἐστι σταυρός. Ἰδοὺ καὶ τὸ κουκούλιον· ὅ
the shoulders which is (the)-cross behold also the cowl which
ἐστι σημεῖον τῆς ἀκακίας, καὶ τῆς ἐν Χριστῷ νηπιότητος.
is (a)-sign of-the innocence and of-the in Christ infancy
Πολιτευσώμεθα οὖν πρὸς τὸ σχῆμα, ὡς εἶπον οἱ Πάτρες, 14
let-us-live then according-to the habit as said the Fathers
ἵνα μὴ ἀλλότριον σχῆμα φορῶμεν· ἀλλ᾽ ὥσπερ ἀφήκαμεν
that not (an)-alien habit we-wear but as we-left
τὰ μεγάλα, οὕτως ἀφήκωμεν καὶ τὰ μικρά· ἀφήκαμεν
the great(-things) thus let-us-leave also the small(-things) we-left
τὸν κόσμον, ἀφήκωμεν καὶ τὰς προσπαθείας αὐτοῦ· αἱ γὰρ
the world let-us-leave also the attachments its the for
προσπάθειαι, καθὼς εἶπον, καὶ διὰ μικρῶν τινων καὶ
attachments as I-said even through small some(-things) and
μηδενὸς λόγου ἀξίων πάλιν συνδεσμοῦσιν ἡμᾶς τῷ κόσμῳ,
of-no account worthy again bind us to-the world
καὶ οὐ νοοῦμεν. Ἐὰν οὖν θέλωμεν τελείως ἀπαλλαγῆναι
and not we-perceive(-it) if then we-wish perfectly to-be-rid
καὶ ἐλευθερωθῆναι, μάθωμεν κόπτειν τὰ θελήματα ἡμῶν,
and to-be-freed let-us-learn to-cut the wills our
καὶ οὕτως κατὰ μικρὸν σὺν Θεῷ προκόπτομεν, καὶ
and thus by little with God we-advance and
ἐρχόμεθα εἰς τὴν ἀπροσπάθειαν. Οὐδὲν γὰρ οὕτως ὠφελεῖ
come to the freedom-from-attachment nothing for so profits

τοὺς ἀνθρώπους, ὡς τὸ κόπτειν τὸ ἴδιον θέλημα· ὄντως
the men as the to-cut the own will truly
προκόπτει τις ἐκ τούτου τοῦ πράγματος σχεδὸν ὑπὲρ
advances someone from this the thing almost beyond
πᾶσαν ἀρετήν. Καὶ ὥσπερ ἄνθρωπος ὁδεύων ἐν ὁδῷ, καὶ
every virtue and as (a)-man traveling on (a)-road and
εὑρίσκων ἐν αὐτῇ κοπενδάριον, καὶ ὑπάγων αὐτό, δι᾽
finding on it (a)-short-cut and going it through
ἐκείνου τοῦ κοπενδαρίου προλαμβάνων πολὺ μέρος ἐκ τῆς
that the short-cut getting-ahead much part of the
ὁδοῦ ἐκείνης, οὕτως ἐστὶν ὁδεύων ταύτην τὴν ὁδὸν
road that thus is (the-one)-traveling this the road
τῆς κοπῆς τοῦ θελήματος· ἐκ τοῦ γὰρ κόπτειν τινὰ τὸ
of-the cutting of-the will from the for to-cut someone the
ἴδιον θέλημα αὐτοῦ, κτᾶται τὴν ἀπροσπάθειαν, καὶ ἐκ
own will his he-acquires the freedom-from-attachment and from
τῆς ἀπροσπαθείας ἔρχεται σὺν Θεῷ εἰς τελείαν ἀπάθειαν·
the freedom-from-attachment he-comes with God to perfect passionlessness
δύναται δὲ εἰς μικρὸν διάστημα κόψαι δέκα θελήματα· καὶ
he-can and in (a)-short interval to-cut ten wills and
πῶς; περιπατεῖ τις εἰς μικρὸν διάστημα, καὶ βλέπει τί
how walks someone in (a)-short interval and sees something
ποτε, καὶ λέγει αὐτῷ ὁ λογισμός, Πρόσχες ἐκεῖ, καὶ λέγει
at-all and says to-him the thought look there and he-says
τῷ λογισμῷ, Ὄντως οὐ προσέχω, καὶ κόπτει τὸ θέλημα
to-the thought truly not I-look and he-cuts the will
αὐτοῦ, καὶ οὐ προσέχει· πάλιν εὑρίσκει τινὰς καταλαλοῦντας,
his and not looks again he-finds some slandering
καὶ λέγει αὐτῷ ὁ λογισμός· Εἰπὲ καὶ σὺ τόδε τὸ ῥῆμα· καὶ
and says to-him the thought say also you this the word and
κόπτει τὸ θέλημα αὐτοῦ, καὶ οὐ λέγει. Πάλιν λέγει αὐτῷ
he-cuts the will his and not says again says to-him

ὁ λογισμός· Ὕπαγε, ἐρώτησον τὸν μάγειρον τί ἕψει,
the thought go ask the cook what he-is-cooking
καὶ οὐχ ὑπάγει, καὶ κόπτει τὸ θέλημα αὐτοῦ. Βλέπει τί
and not he-goes and he-cuts the will his he-sees something
ποτε, καὶ λέγει αὐτῷ ὁ λογισμός· Ἐρώτησον τίς ἤνεγκεν
at-all and says to-him the thought ask who brought
αὐτό· καὶ κόπτει τὸ θέλημα αὐτοῦ, καὶ οὐκ ἐρωτᾷ· καὶ
it and he-cuts the will his and not asks and
οὕτως κόπτων εἰς συνήθειαν ἔρχεται τοῦ κόπτειν, καὶ ἐκ
thus cutting into habit he-comes of-the to-cut and from
τῶν μικρῶν ἄρχεται καὶ τὰ μεγάλα μετὰ ἀναπαύσεως
the small(-things) he-begins also the great(-things) with rest
κόπτειν, καὶ οὕτως λοιπὸν ἄρχεται μήτε ἔχειν ὅλως
to-cut and thus henceforth he-begins not-even to-have at-all
θέλημα· ἀλλ' εἴ τι δ' ἂν γένηται ἀναπαύει αὐτόν, ὡς
(a)-will but if anything but — happens it-gives-rest-to him as
ὅτι αὐτοῦ ἐστι. Καὶ αὐτοῦ μὴ θέλοντος ποιῆσαι τὸ θέλημα
that his it-is and him not wishing to-do the will
αὐτοῦ, εὑρίσκεται πάντοτε ποιῶν αὐτό. Ὁ γὰρ ἴδιον
his he-is-found always doing it the(-one) for own(-will)
οὐκ ἔχει, ἕκαστον γινόμενον ἴδιον αὐτοῦ ἐστι. Καὶ οὕτως
not has each(-thing) happening own his is and so
εὑρίσκεται, ὡς εἴπομεν, μὴ ἔχων προσπάθειαν, καὶ ἐκ
he-is-found as we-said not having attachment and from
τῆς ἀπροσπαθείας, ὡς εἶπον, ἔρχεται εἰς τὴν ἀπάθειαν.
the freedom-from-attachment as I-said he-comes to the passionlessness
Βλέπετε κατὰ μικρόν, εἰς ποίαν φέρει προκοπὴν τὸ κόπτειν
see by little to what brings advance the to-cut
τὸ ἴδιον θέλημα· οἷος ἦν ὁ μακάριος ἐκεῖνος Δωσίθεος.
the own will such-as was the blessed that Dositheus
Ἀπὸ ποίου βίου, καὶ ἀπὸ ποίας τρυφῆς, ἀπὸ ποίας
from what life and from what luxury from what

βλακείας ἄνθρωπος, μηδὲ ἀκούσας ποτὲ λόγον Θεοῦ,
softness (a)-man not-even having-heard ever (a)-word of-God
καὶ ὅμως ἠκούσατε εἰς ποῖα μέτρα ἤνεγκεν αὐτὸν δι᾽
and nevertheless you-heard to what measures brought him through
ὀλίγου χρόνου τὸ κρατῆσαι αὐτὸν τὴν ὑπακοήν, καὶ κόψαι
little time the to-hold-fast him the obedience and to-cut
τὸ ἴδιον θέλημα· πῶς δὲ καὶ ἐδόξασεν αὐτὸν ὁ Θεός, καὶ
the own will how and also glorified him — God and
οὐκ ἀφῆκεν εἰς λήθην ἐλθεῖν τὴν τοιαύτην αὐτοῦ ἀρετήν·
not let to oblivion to-come the such his virtue
ἀλλὰ ἀπεκάλυψε τῷ ἁγίῳ γέροντι, καὶ εἶδεν αὐτὸν μεταξὺ
but revealed(-it) to-the holy elder and he-saw him among
ὅλων ἐκείνων τῶν ἁγίων ἀπολαύοντα τῆς μακαριότητος
all those the saints enjoying the blessedness
αὐτῶν. Λέγω ὑμῖν καὶ ἄλλο πρᾶγμα ὁμοίως καὶ ἐπὶ ἐμοῦ
their I-tell you also another thing likewise also in my(-time)
γινόμενον· ἵνα μάθητε ὅτι καὶ ἀπὸ θανάτου ῥύεται
having-happened that you-may-learn that even from death delivers
ἄνθρωπον ἡ ὑπακοή, καὶ τὸ μὴ ἔχειν τὸ ἴδιον θέλημα.
(a)-man the obedience and the not to-have the own will
Ποτὲ ὄντος μου ἐν τοῖς τοῦ ἀββᾶ Σερίδου, ἦλθεν
once being I in the(-monastery) of-the abba Seridos came
ἐκεῖ μαθητὴς μεγάλου γέροντος ἐκ τῶν μερῶν Ἀσκάλωνος
there (a)-disciple of-(a)-great elder from the parts of-Ascalon
εἴς τινα ἀπὸ τοῦ ἀββᾶ αὐτοῦ. Εἶχε δὲ ἐντολὴν
to some(-one) from the abba his he-had and (a)-command
παρὰ τοῦ γέροντος ὑποστρέψαι ἀπὸ ἑσπέρας εἰς τὸ ἴδιον
from the elder to-return from evening to the own
κελλίον. Ἐν τῷ τούτῳ δὲ γίνεται χειμὼν σφοδρότατος καὶ
cell in the this and comes (a)-storm most-violent and
ὄμβροι, καὶ ἦν ὁ παραπλήσιος χείμαῤῥος εἰς ὅλην τὴν
rains and was the nearby torrent in whole the

πλημμύραν αὐτοῦ· εἶτα ἐκεῖνος ἤθελεν ἀπελθεῖν διὰ τὸ
flood its then he wished to-go because-of the
ῥῆμα τοῦ γέροντος. Ἡμεῖς δὲ παρεκαλοῦμεν αὐτὸν μεῖναι,
word of-the elder we but entreated him to-stay
ἔχοντες ὅτι ἀδύνατόν ἐστι σωθῆναι αὐτὸν ἐκ τοῦ ποταμοῦ.
holding that impossible it-is to-be-saved him from the river
Ἐκεῖνος δὲ οὐκ ἐπείθετο ἡμῖν μεῖναι. Λέγομεν ὕστερον,
he but not was-persuaded by-us to-stay we-say later
Ἀπέλθωμεν μετ' αὐτοῦ ἕως τοῦ ποταμοῦ· ἐὰν γὰρ ἴδῃ
let-us-go with him as-far-as the river if for he-sees
αὐτόν, ἀφ' ἑαυτοῦ ἔχει ἀνακάμψαι. Ἀπήλθομεν οὖν μετ'
it of himself he-will to-turn-back we-went then with
αὐτοῦ, καὶ ὅτε ἐφθάσαμεν τὸν ποταμόν, ἀποδύεται ἐκεῖνος
him and when we-reached the river strips that(-man)
τὰ ἱμάτια αὐτοῦ, καὶ δεσμεῖ αὐτὰ εἰς τὴν κεφαλὴν αὐτοῦ,
the garments his and binds them on the head his
καὶ ζώννυται τὸ μαφόριον αὐτοῦ, καὶ βάλλει ἑαυτὸν εἰς
and girds-on the veil his and throws himself into
τὸν ποταμὸν εἰς ὅλον τὸ φοβερὸν ῥεῦμα ἐκεῖνο. Ἡμεῖς δὲ
the river into whole the fearful stream that we but
ἱστάμεθα ἐκπληττόμενοι καὶ τρέμοντες μήπως ἀποθάνῃ·
stand astonished and trembling lest-perhaps he-die
ἐκεῖνος δὲ ἔμενε κολυμβῶν, καὶ εὑρίσκεται παραχρῆμα εἰς
he but kept swimming and is-found immediately on
τὸ ἄλλο πέραν, καὶ ἐνδύεται τὰ ἱμάτια αὐτοῦ, καὶ βάλλει
the other side and puts-on the garments his and makes
ἡμῖν ἐκεῖθεν μετάνοιαν, καὶ λαμβάνει παράθεσιν, καὶ
to-us from-there (a)-prostration and takes (a)-commendation and
ἀπέρχεται τρέχων· ἡμεῖς δὲ ἐμείναμεν θαυμάζοντες, καὶ
goes-off running we but remained marveling and
ἐκπληττόμενοι τὴν δύναμιν τῆς ἀρετῆς· ὅτι ἡμεῖς μετὰ
astonished-at the power of-the virtue that we with

φόβου, κἂν προσείχομεν, ἐκεῖνος δὲ ἀκινδύνως διῆλθε
fear even paid-attention he but without-danger passed-through
διὰ τὴν ὑπακοὴν αὐτοῦ. Καὶ ὁ ἀδελφὸς ἐκεῖνος, ὃν
because-of the obedience his and the brother that whom
ἔπεμψεν ὁ ἀββᾶς αὐτοῦ διὰ τὰς χρείας αὐτῶν πρὸς
sent the abba his because-of the needs their to
τὸν ἀποκρισάριον αὐτοῦ εἰς τὴν κώμην· πῶς ὅτι εἶδεν
the agent his into the village how that he-saw
αὐτὸν ἑλκόμενον ὑπὸ τῆς θυγατρὸς αὐτοῦ εἰς αἰσχρὰν
himself dragged by the daughter his to shameful
μίξιν· ἵνα μόνον εἴπῃ· «Ὁ Θεὸς τοῦ Πατρός μου, ἐξελοῦ
intercourse that only he-say — God of-the Father my deliver
με·» εὐθέως εὑρέθη εἰς τὴν ὁδὸν τῆς Σκήτεως ὑπάγων
me immediately he-was-found on the road — of-Scetis going
πρὸς τὸν Πατέρα αὐτοῦ.
to the Father his

16 Βλέπετε δύναμιν ἀρετῆς, βλέπετε ἐνέργειαν ῥήματος,
see (the)-power of-virtue see (the)-working of-(a)-word
πόσην βοήθειαν ἔχει καὶ τὸ ἐπικαλέσασθαί τινα τὰς
how-much help has also the to-call-upon someone the
εὐχὰς τοῦ Πατρὸς αὐτοῦ· ἵνα εἴπῃ· Ὁ Θεός, διὰ τὰς
prayers of-the Father his that he-say — God because-of the
εὐχὰς τοῦ Πατρός μου ἐξελοῦ με, εὐθέως εὑρέθη εἰς τὴν
prayers of-the Father my deliver me immediately he-was-found on the
ὁδόν. Κατανοήσατε δὲ τὴν ταπείνωσιν καὶ τὴν εὐλάβειαν
road consider and the humility and the reverence
ἀμφοτέρων. Ἦσαν ἐν στενώσει, καὶ ἤθελεν ὁ γέρων
of-both they-were in straits and wished the elder
πέμψαι τὸν ἀδελφὸν πρὸς τὸν ποιοῦντα αὐτοῖς τὴν
to-send the brother to the(-one) making for-them the
ἀπόκρισιν, καὶ οὐκ ἔλεγεν αὐτῷ· Ὕπαγε· ἀλλ' ἔλεγεν αὐτῷ·
errand and not he-said to-him go but he-said to-him

«Θέλεις ἀπελθεῖν;» Ὁμοίως καὶ ὁ ἀδελφὸς οὐκ εἶπεν·
do-you-wish to-go likewise also the brother not said
Ὑπάγω· ἀλλ' ἔλεγεν αὐτῷ· «Ὡς θέλεις ποιῶ.» Ἐφοβεῖτο
I-go but said to-him as you-wish I-do he-feared
γὰρ καὶ διὰ τὰ σκάνδαλα καὶ διὰ τὸ μὴ παρακοῦσαι
for both because-of the scandals and because-of the not to-disobey
τοῦ Πατρὸς αὐτοῦ. Εἶτα ὡς πλέον ἐστενώθησαν, λέγει
the Father his then as more they-were-straitened says
αὐτῷ ὁ γέρων· «Ἐγείρου, ὕπαγε·» καὶ οὐκ εἶπεν αὐτῷ·
to-him the elder get-up go and not he-said to-him
Ἐλπίζω εἰς τὸν Θεόν μου ὅτι σκεπάζῃ σε· ἀλλὰ λέγει·
I-hope in — God my that he-will-protect you but he-says
«Ἐλπίζω εἰς τὰς εὐχὰς τοῦ Πατρός μου ὅτι σκεπάζουσί
I-hope in the prayers of-the Father my that they-protect
με.» Ὁμοίως καὶ ὁ ἀδελφός, ὅτε ἐπειράσθη, οὐκ εἶπεν,
me likewise also the brother when he-was-tempted not said
ὅτι Ὁ Θεός μου, ἐξελοῦ με, ἀλλ', «Ὁ Θεός, εἰς τὰς εὐχὰς
that — God my deliver me but — God by the prayers
τοῦ Πατρός μου ἐξελοῦ με.» Καὶ ἕκαστος αὐτῶν εἰς τὰς
of-the Father my deliver me and each of-them in the
εὐχὰς τοῦ Πατρὸς αὐτοῦ ἤλπιζε. Βλέπετε πῶς ἔζευξαν τὴν
prayers of-the Father his hoped see how they-yoked the
ὑπακοὴν τῇ ταπεινώσει· ὥσπερ γὰρ ζεύγνυται τὸ ἅρμα,
obedience to-the humility as for is-yoked the chariot
καὶ οὐ δύναται ὁ ἵππος προλαβεῖν τὸν ἄλλον, ἐπικλᾶται·
and not can the horse to-get-ahead-of the other(-one) (else)-it-is-broken
οὕτως χρήζει ἡ ὑπακοὴ ἔχειν συνεζευγμένην αὐτῇ τὴν
thus needs the obedience to-have yoked-with it the
ταπείνωσιν. Καὶ πῶς δύναταί τις ἀξιωθῆναι ταύτης
humility and how can someone to-be-deemed-worthy of-this
τῆς χάριτος, ἐὰν μή, καθὼς εἶπον, βιάσηται κόψαι τὰ
the grace unless — as I-said he-force(-himself) to-cut the

ἴδια θελήματα, καὶ ἐκδῷ ἑαυτὸν μετὰ Θεὸν τῷ ἑαυτοῦ
own wills and give-over himself after God to-the his-own
Πατρί, ἐν μηδενὶ διστάζων, ἀλλὰ πάντα ποιῶν, ὥσπερ
Father in nothing doubting but all(-things) doing as
κἀκείνῳ, μετὰ πληροφορίας ὡς ὅτι τῷ Θεῷ ὑπακούει;
also-to-that(-one) with full-assurance as that — God he-obeys
Τίς ἄξιος ἐλεηθῆναι, τίς ἄξιος σωθῆναι.
who (is)-worthy to-obtain-mercy who (is)-worthy to-be-saved

17 Φέρεταί ποτε τοιοῦτος λόγος, ὅτι παρερχόμενός ποτε ὁ
is-told once such (a)-story that passing-through once the
ἅγιος Βασίλειος διὰ τῶν κοινοβίων αὐτοῦ, λέγει ἑνὶ τῶν
holy Basil through the monasteries his says to-one of-the
ἡγουμένων· «Ἔχεις τινὰ τῶν σωζομένων;» Λέγει αὐτῷ
abbots have-you any of-the(-ones) being-saved says to-him
ὁ ἀββᾶς· «Διὰ τῶν εὐχῶν σου, δέσποτα, πάντες θέλομεν
the abba through the prayers your master all we-wish
σωθῆναι.» Λέγει πάλιν αὐτῷ ὁ ἅγιος Βασίλειος· «Τῶν
to-be-saved says again to-him the holy Basil of-the(-ones)
σωζομένων ἔχεις τινά;» Ἐκεῖνο νοήσας [ἦν γὰρ
being-saved have-you any that(-thing) having-understood he-was for
καὶ αὐτὸς πνευματικός] λέγει· «Ναί.» Ἐλθόντος δὲ αὐτοῦ,
also he spiritual says yes having-come and he
λέγει ὁ ἅγιος αὐτῷ· «Δός, νίψωμαι.» Ἀπέρχεται,
says the holy(-man) to-him give(-me-water) let-me-wash he-goes
καὶ φέρει αὐτῷ νίψασθαι. Μετὰ δὲ τὸ νίψασθαι τὸν ἅγιον
and brings him to-wash after and the to-wash the holy
Βασίλειον, λαμβάνει καὶ αὐτὸς ὁ ἅγιος τὸ νίμα, καὶ
Basil takes also the-very the holy(-man) the washing-water and
λέγει τῷ ἀδελφῷ· «Δέξαι, καὶ αὐτὸς νίψαι.» Δέχεται οὖν
says to-the brother receive also you wash receives then
ἐκεῖνος τὸ νίμα ἀδιακρίτως παρὰ τοῦ ἁγίου· μετὰ
that(-one) the washing-water without-hesitation from the holy(-man) after

οὖν τὸ δοκιμάσαι αὐτὸν ἐν τούτῳ, λέγει αὐτῷ πάλιν·
then the to-test him in this says to-him again
«Ὅτε εἰσέρχομαι εἰς τὸ ἱερατεῖον, ἐλθέ, ὑπόμνησόν με
when I-enter into the sanctuary come remind me
ἵνα χειροτονήσω σε.» Πάλιν ἐκεῖνος ἀδιακρίτως ὑπακούει.
that I-may-ordain you again that(-one) without-hesitation obeys
Καὶ ὅτε εἶδε τὸν ἅγιον Βασίλειον ἔσω εἰς τὸ ἱερατεῖον,
and when he-saw the holy Basil inside in the sanctuary
ἀπέρχεται, καὶ ὑπομιμνήσκει αὐτόν, καὶ χειροτονεῖ αὐτόν,
he-goes and reminds him and he-ordains him
καὶ λαμβάνει αὐτὸν μετ' αὐτοῦ· τίνι γὰρ ἔπρεπεν, εἰ
and takes him with him to-whom for was-it-fitting except
μὴ μετὰ τοῦ ἁγίου ἐκείνου τοῦ θεοφόρου, τῷ τοιούτῳ
— with the holy that the God-bearing(-man) for-the such
εὐλογημένῳ ἀδελφῷ; Ὑμεῖς οὐκ ἔχετε πεῖραν ὑπακοῆς
blessed brother you not have experience of-obedience
ἀδιακρίτου· οὐδὲ οἴδατε τὴν ἀνάπαυσιν αὐτῆς. Ἠρώτησά
unhesitating nor know the rest its I-asked
ποτε γέροντα τὸν ἀββᾶν Ἰωάννην τὸν τοῦ ἀββᾶ
once (an)-elder the abba John the(-disciple) of-the abba
Βαρσανουφίου, καὶ εἶπον· «Δέσποτα, ἐπειδὴ ἡ Γραφὴ
Barsanuphius and said master since the Scripture
λέγει ὅτι διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν
says that through many afflictions must us to-enter into the
βασιλείαν τῶν οὐρανῶν, καὶ βλέπω ὅτι οὐδὲ μίαν θλῖψιν
kingdom of-the heavens and I-see that not-even one affliction
ἔχω, τί ὀφείλω ποιῆσαι, μήπως καὶ ἀπόλλω τὴν ψυχήν
I-have what ought-I to-do lest-perhaps also I-lose the soul
μου, ὅτι οὐκ εἶχον οὐδὲ μίαν θλῖψιν οὐδὲ μέριμναν;»
my because not I-had not-even one affliction nor care
Εἰ δὲ καὶ συνέβη με ἔχειν λογισμόν, ἐλάμβανον τὸ
if and also it-happened me to-have (a)-thought I-took the

πινακίδιον, καὶ ἔγραφον τῷ γέροντι. Διὰ γραμμάτων γὰρ
tablet and wrote to-the elder through letters for
ἠρώτων καὶ αὐτὸν πρὸ τοῦ με ὑπηρετῆσαι αὐτῷ, καὶ πρὶν
I-asked also him before the me to-serve him and before
πληρώσω, γράφων ᾐσθανόμην ὠφελείας καὶ κουφισμοῦ·
I-finished writing I-felt benefit and relief
τοσαύτη ἦν ἡ ἀμεριμνία καὶ ἡ ἀνάπαυσις. Ἐγὼ δὲ
so-great was the freedom-from-care and the rest I but
μὴ εἰδὼς τὴν δύναμιν τῆς ἀρετῆς, καὶ ἀκούων ὅτι διὰ
not knowing the power of-the virtue and hearing that through
πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν
many afflictions must us to-enter into the kingdom of-the
οὐρανῶν, ἐφοβούμην ὅτι οὐκ εἶχον θλῖψιν. Ὡς οὖν ἐδήλωσα
heavens feared that not I-had affliction as then I-declared(-it)
τῷ γέροντι, δηλοῖ μοι οὕτως· «Μηδὲν θλιβῇς· σὺ οὐκ
to-the elder he-declares to-me thus in-nothing be-afflicted you not
ἔχεις πρᾶγμα· ἀλλ᾽ ἕκαστος βάλλων ἑαυτὸν εἰς ὑπακοὴν
have matter but each(-one) casting himself into obedience
Πατέρων, ταύτην τὴν ἀμεριμνίαν καὶ τὴν ἀνάπαυσιν ἔχει.»
of-Fathers this the freedom-from-care and the rest has

Περὶ ταπεινοφροσύνης

II · ON HUMILITY

Before all we need humility. Dorotheos describes two kinds of pride and two of humility.

Εἶπέ τις τῶν γερόντων, Πρὸ παντὸς χρήζομεν τῆς 1
said one of-the elders before everything we-need the
ταπεινοφροσύνης, ἕτοιμοι ὄντες ἐν παντὶ λόγῳ ᾧ ἀκούομεν,
humility ready being at every word which we-hear
λέγειν, Συγχώρησον. Διὰ γὰρ τῆς ταπεινοφροσύνης, πάντα
to-say forgive through for the humility all
τὰ τοῦ ἐχθροῦ καὶ ἀντικειμένου διαφθείρεται. Ζητήσωμεν
the(-things) of-the enemy and adversary are-destroyed let-us-seek
τί ἐστιν ἡ δύναμις τοῦ λόγου τοῦ γέροντος. Διὰ τί λέγει,
what is the force of-the saying of-the elder for what does-he-say
Πρὸ παντὸς χρήζομεν τῆς ταπεινοφροσύνης, καὶ μὴ μᾶλλον,
before everything we-need the humility and not rather
Πρὸ παντὸς χρήζομεν ἐγκρατείας; Λέγει γὰρ ὁ Ἀπόστολος·
before everything we-need self-control says for the Apostle
Ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται· ἢ διὰ τί μὴ
the(-one) striving in-all-things is-self-controlled or for what not
λέγει, Πρὸ παντὸς χρήζομεν τοῦ φόβου τοῦ Θεοῦ; λέγει
does-he-say before everything we-need the fear — of-God says
γὰρ ἡ Γραφή· Ἀρχὴ σοφίας, φόβος Κυρίου. Καὶ
for the Scripture (the)-beginning of-wisdom (is)-(the)-fear of-(the)-Lord and
πάλιν· Τῷ φόβῳ Κυρίου ἐκκλίνει πᾶς ἀπὸ κακοῦ. Διὰ
again by-the fear of-(the)-Lord turns-aside everyone from evil for
τί γὰρ οὐ λέγει, Πρὸ παντὸς χρήζομεν τῆς ἐλεημοσύνης,
what for not does-he-say before everything we-need the almsgiving
ἢ τῆς πίστεως; λέγει γάρ, Ἐλεημοσύναις καὶ πίστεσιν
or the faith says for by-almsgivings and faiths

ἀποκαθαίρονται ἁμαρτίαι· καὶ ὁ Ἀπόστολος λέγει· Χωρὶς
are-purged sins and the Apostle says without
πίστεως ἀδύνατον εὐαρεστῆσαι τῷ Θεῷ. Εἰ οὖν ἀδύνατον
faith (it-is)-impossible to-please — God if then (it-is)-impossible
εὐαρεστῆσαι τῷ Θεῷ χωρὶς πίστεως, καὶ ἐλεημοσύναις καὶ
to-please — God without faith and by-almsgivings and
πίστεσιν ἀποκαθαίρονται ἁμαρτίαι, καὶ τῷ φόβῳ Κυρίου
faiths are-purged sins and by-the fear of-(the)-Lord
ἐκκλίνει πᾶς ἀπὸ κακοῦ, καὶ ἀρχὴ σοφίας φόβος
turns-aside everyone from evil and (the)-beginning of-wisdom (is)-(the)-fear
Κυρίου, καὶ ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται· πῶς
of-(the)-Lord and the(-one) striving in-all-things is-self-controlled how
οὖν λέγει, ὅτι Πρὸ παντὸς χρήζομεν τῆς ταπεινοφροσύνης;
then does-he-say that before everything we-need the humility
καὶ ἀφῆκε ταῦτα πάντα οὕτως ἀναγκαῖα ὄντα; Θέλει δεῖξαι
and left these all thus necessary being he-wishes to-show
ἡμῖν ὁ γέρων, ὅτι οὔτε αὐτὸς ὁ φόβος τοῦ Θεοῦ, οὔτε ἡ
us the elder that neither the-very the fear — of-God nor the
ἐλεημοσύνη, οὔτε ἡ πίστις, οὔτε ἡ ἐγκράτεια, οὔτε ἄλλη μία
almsgiving nor the faith nor the self-control nor other one
τῶν ἀρετῶν δύναται κατορθωθῆναι χωρὶς ταπεινοφροσύνης.
of-the virtues can be-accomplished without humility
Διὰ τοῦτο λέγει, Πρὸ παντὸς χρήζομεν τῆς
because-of this he-says before everything we-need the
ταπεινοφροσύνης, ἕτοιμοι ὄντες ἐν παντὶ λόγῳ ᾧ ἀκούομεν,
humility ready being at every word which we-hear
λέγειν, «Συγχώρησον»· διὰ γὰρ τῆς ταπεινοφροσύνης,
to-say forgive through for the humility
πάντα τοῦ ἐχθροῦ καὶ ἀντικειμένου διαφθείρεται.
all(-things) of-the enemy and adversary are-destroyed

Ἰδοὺ βλέπετε, ἀδελφοί, πόση ἐστὶν ἡ δύναμις τῆς 2
behold see brothers how-great is the power of-the
ταπεινοφροσύνης. Βλέπετε ποίαν ἐνέργειαν ἔχει τὸ λέγειν,
humility see what working has the to-say
«Συγχώρησον.» Διὰ τί δὲ καλεῖται ὁ διάβολος οὐ μόνον
forgive for what and is-called the devil not only
ἐχθρός, ἀλλὰ καὶ ἀντικείμενος; Ἐχθρὸς λέγεται, καθότι
enemy but also adversary enemy he-is-called because
μισάνθρωπός ἐστι, μισόκαλος, ἐπίβουλος· ἀντικείμενος δὲ
man-hating he-is good-hating plotting adversary and
λέγεται, ἐπειδὴ εἰς πᾶν πρᾶγμα καλὸν ἐπιχειρεῖ ἐμποδίσας.
he-is-called since in every thing good he-sets-to hindering(-it)
Θέλει τις εὔξασθαι; ἐκεῖνος ἀντίκειται ἐμποδίζων διὰ
wishes someone to-pray he opposes(-him) hindering through
κακῶν ἐνθυμήσεων, δι' αἰχμαλωσίας, διὰ ἀκηδίας. Θέλει
evil reflections through captivity through listlessness wishes
τις ἐλεῆσαι; ἐκεῖνος ἐμποδίζει διὰ φιλαργυρίας, δι'
someone to-show-mercy he binders through love-of-money through
ὀκνηρίας. Θέλει τις ἀγρυπνῆσαι; ἐκεῖνος ἐμποδίζει δι'
sloth wishes someone to-keep-vigil he binders through
ὀκνηρίας, διὰ ῥᾳθυμίας, καὶ εἰς ἕκαστον πρᾶγμα οὗτος
sloth through laziness and in each thing he
ἐναντιοῦται ἡμῖν, εἰς ὃ ἐπιβαλλόμεθα καλόν· διὰ
opposes us in which we-undertake (a)-good because-of
τοῦτο λέγεται οὐ μόνον ἐχθρός, ἀλλὰ καὶ ἀντικείμενος·
this he-is-called not only enemy but also adversary
διὰ οὖν τῆς ταπεινοφροσύνης πάντα τὰ τοῦ ἐχθροῦ
through then the humility all the(-things) of-the enemy
καὶ ἀντικειμένου διαφθείρεται. Μεγάλη γάρ ἐστιν ὄντως ἡ
and adversary are-destroyed great for is truly the
ταπεινοφροσύνη, καὶ ἕκαστος δὲ τῶν ἁγίων δι' αὐτῆς τῆς
humility and each too of-the saints through the-very the

ταπεινοφροσύνης ὥδευσεν, καὶ διὰ τοῦ κόπου συνέτεμεν
humility traveled and through the toil cut-short
τὴν ὁδοιπορίαν· καθὼς λέγει· Ἴδε τὴν ταπείνωσίν μου καὶ
the journey as he-says see the humility my and
τὸν κόπον μου, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου· καί,
the toil my and forgive all the sins my and
Ἐταπεινώθην καὶ ἔσωσέ με ὁ Κύριος. Δύναται μὲν γὰρ
I-was-humbled and saved me the Lord can indeed for
καὶ ἡ ταπείνωσις μόνη εἰσενεγκεῖν, ὡς ἔλεγεν ὁ γέρων
also the humility alone to-bring-in(-us) as said the elder
ὁ ἀββᾶς Ἰωάννης, βραδυτέρως δέ. Ταπεινωθῶμεν οὖν καὶ
the abba John more-slowly but let-us-be-humbled then also
ἡμεῖς μικρόν, καὶ σωζόμεθα· κἂν οὐ δυνάμεθα κοπιάσαι, ὡς
we (a)-little and we-are-saved even-if not we-can to-toil as
ἀσθενεῖς, σπουδάσωμεν ταπεινωθῆναι. Καὶ πιστεύω εἰς τὸ
weak let-us-be-eager to-be-humbled and I-believe in the
ἔλεος τοῦ Θεοῦ, ὅτι καὶ αὐτὸ τὸ μικρὸν μετὰ ταπεινώσεως
mercy — of-God that also the-very the little with humility
γενόμενον εὑρισκόμεθα καὶ ἡμεῖς εἰς τὸν τόπον τῶν ἁγίων
done we-are-found also we in the place of-the saints
ἐκεῖ τῶν πολλὰ κοπιασάντων, καὶ δουλευσάντων τῷ
there of-the(-ones) much having-toiled and having-served —
Θεῷ. Ναὶ ἀσθενοῦμεν, καὶ οὐ δυνάμεθα κοπιάσαι, μὴ
God yes we-are-weak and not we-can to-toil not
ταπεινωθῆναι οὐ δυνάμεθα; Μακάριός ἐστιν, ἀδελφοί, ὁ
to-be-humbled not can-we blessed is brothers the(-one)
ἔχων ταπείνωσιν. Μεγάλη ἐστὶν ἡ ταπείνωσις· καλῶς
having humility great is the humility well
δὲ ἐσήμανεν ὁ ἅγιος ἐκεῖνος, τὸν ἔχοντα ἀληθινὴν
and signified the holy that(-man) the(-one) having true
ταπείνωσιν· διὰ τοῦτο εἶπεν, ὅτι Ἡ ταπείνωσις οὐκ
humility because-of this he-said that the humility not

ὀργίζεται, οὐδὲ παροργίζει τινά· καὶ δοκεῖ ὡς ξένον εἶναι τὸ
is-angry nor angers anyone and it-seems as strange to-be the
πρᾶγμα· ἡ ταπείνωσις γὰρ τῇ κενοδοξίᾳ μόνῃ ἐναντιοῦται,
thing the humility for to-the vainglory alone is-opposed
καὶ ἀπ᾽ αὐτῆς δῆθεν φυλάττει τὸν ἄνθρωπον. Ὀργίζεται δέ
and from it supposedly guards the man is-angry but
τις καὶ διὰ χρήματα, καὶ διὰ βρώματα· πῶς οὖν
someone also because-of money and because-of foods how then
λέγει ὅτι ἡ ταπείνωσις οὐκ ὀργίζεται οὐδὲ παροργίζει
does-he-say that the humility not is-angry nor angers
τινά; Ἡ ταπείνωσις μεγάλη ἐστίν, ὡς εἴπομεν, καὶ δυνατή
anyone the humility great is as we-said and powerful
ἐστιν ὥστε ἐπισπᾶσαι τὴν χάριν τοῦ Θεοῦ εἰς τὴν
is so-as to-draw-down the grace — of-God into the
ψυχήν. Λοιπὸν αὕτη ἡ χάρις τοῦ Θεοῦ, ἐλθοῦσα σκεπάζει
soul henceforth this the grace — of-God having-come covers
τὴν ψυχὴν ἐκ τῶν ἄλλων δύο παθῶν τούτων τῶν
the soul from the other two passions these the
βαρέων· τί γὰρ ἔνι βαρύτερον τοῦ ὀργίζεσθαι, καὶ τοῦ
heavy what for is heavier than-the to-be-angry and the
παροργίζειν τὸν πλησίον, ὡς εἶπέ τις; Ξένον παντάπασι
to-anger the neighbor as said someone strange altogether
μοναχοῖς τὸ ὀργίζεσθαι· ὄντως εἰ μὴ ταχέως σκεπασθῇ
for-monks (is)-the to-be-angry truly if not quickly be-covered
ὁ τοιοῦτος διὰ ταπεινώσεως, κατὰ μικρὸν ἔρχεται εἰς
the such(-man) through humility by little he-comes into
κατάστασιν δαίμονος, ταράσσων καὶ ταρασσόμενος.
(the)-state of-(a)-demon troubling and being-troubled
Διὰ τοῦτο οὖν λέγει ὅτι ἡ ταπείνωσις οὐκ ὀργίζεται, 3
because-of this then he-says that the humility not is-angry
οὐδὲ παροργίζει τινά. Τί δὲ λέγω, ὅτι ἀπὸ τῶν δύο
nor angers anyone what and do-I-say that from the two

παθῶν σκεπάζει; Ἀλλὰ καὶ ἀπὸ παντὸς πάθους· ἀπὸ
passions it-covers but also from every passion from
παντὸς πειρασμοῦ σκεπάζει ἡ ταπείνωσις τὴν ψυχήν.
every temptation covers the humility the soul
Ὅτε ἐθεώρησεν ὁ ἅγιος Ἀντώνιος πάσας τὰς παγίδας
when beheld the holy Antony all the snares
τοῦ διαβόλου ἡπλωμένας, καὶ στενάξας, ἠρώτησε τὸν
of-the devil spread-out and having-groaned asked —
Θεόν, ὅστις ἄρα παρέρχεται ταύτας, τί ἀπεκρίθη αὐτῷ
God who then passes-by these what answered him
ὁ Θεός; ὅτι «Ἡ ταπείνωσις παρέρχεται αὐτάς.» Καὶ
— God that the humility passes-by them and
ποῖον ἄλλο θαυμαστὸν προσέθηκε; τό, «Καὶ οὔτε
what other wonderful(-thing) he-added the(-word) and not-even
ἅπτονται αὐτῆς.» Βλέπεις δύναμιν, κύριε; Βλέπεις χάριν
do-they-touch her you-see (the)-power lord you-see (the)-grace
ἀρετῆς; Τῷ ὄντι, οὐδὲν ἰσχυρότερον ταπεινοφροσύνης. Εἴ
of-virtue in-the reality nothing (is)-stronger than-humility if
τι δ' ἂν συμβῇ λυπηρὸν τῷ ταπεινῷ, εὐθέως χωρεῖ
anything but — happen grievous to-the humble(-man) immediately he-goes
καθ' ἑαυτοῦ, εὐθέως κατακρίνει ἑαυτὸν ὅτι ἐστὶν ἄξιος·
against himself immediately he-condemns himself that he-is worthy
οὐκ ἀνέχεται μέμψασθαί τινα, οὐκ ἀνέχεται βαλεῖν ἐπάνω
not he-bears to-blame anyone not he-bears to-cast upon
ἄλλων τὴν αἰτίαν, καὶ λοιπὸν παρέρχεται ἀταράχως,
others the cause and henceforth he-passes-by untroubled
ἀθλίπτως, μετὰ πάσης ἀναπαύσεως. Διὰ τοῦτο οὔτε
unafflicted with all rest because-of this neither
ὀργίζεται, οὔτε παροργίζει τινά. Διὰ τοῦτο καλῶς εἶπεν
is-be-angry nor angers anyone because-of this well said
ὁ ἅγιος, ὅτι Πρὸ πάντων χρήζομεν τῆς ταπεινοφροσύνης.
the holy(-man) that before all(-things) we-need the humility

Δύο δέ εἰσι ταπεινώσεις, ὥσπερ καὶ δύο ὑπερηφανίαι. 4
two and are humilities as also two prides
Ἡ πρώτη ὑπερηφανία ἐστίν, ὅταν ἐξουδενεῖ τις τὸν
the first pride is when despises someone the
ἀδελφόν, ὅταν εὐτελίζει αὐτόν, ὡς μηδὲν ὄντα, καὶ ἑαυτὸν
brother when he-disparages him as nothing being and himself
ὑπερέχοντα αὐτοῦ. Ὁ τοιοῦτος ἐὰν μὴ ταχέως νήψῃ
superior to-him the such(-man) unless — quickly he-be-sober
καὶ σπουδάσῃ, κατὰ μικρὸν ἔρχεται καὶ εἰς τὴν δευτέραν
and be-eager by little comes also to the second
ὑπερηφανίαν· ἵνα καὶ κατὰ τοῦ Θεοῦ ὑπερηφανεύηται· καὶ
pride so-that also against — God he-is-proud and
ἑαυτῷ ἐπιγράφει τὰ κατορθώματα αὐτοῦ, καὶ οὐ τῷ Θεῷ.
to-himself ascribes the achievements his and not — to-God
Ὄντως, ἀδελφοί μου, οἶδά ποτε ἐλθόντα τινὰ εἰς ταύτην
truly brothers my I-know once having-come someone into this
τὴν ἐλεεινὴν κατάστασιν· καὶ παρὰ μὲν τὴν ἀρχὴν εἴ τι
the pitiable state and at indeed the beginning if anything
ἐλάλησεν αὐτοῦ τις τῶν ἀδελφῶν, κατέπτυεν ἑκάστου, καὶ
spoke to-him one of-the brothers he-spat-on each(-one) and
ἔλεγε· «Τίς ἐστιν ἐκεῖνος; Οὐκ ἔστιν εἰ μὴ Ζωσιμᾶς,
said who is that(-one) not is(-anyone) except — Zosimas
καὶ οἱ κατ᾽ αὐτόν.» Εἶτα ἤρξατο καὶ τούτους εὐτελίζειν
and the(-ones) like him then he-began also these to-disparage
καὶ λέγειν· «Οὐδείς ἐστιν εἰ μὴ Μακάριος·» καὶ μετ᾽
and to-say no-one is except — Macarius and after
ὀλίγον ἤρξατο λέγειν· «Τίς ἐστι Μακάριος; Οὐδείς, εἰ μὴ
(a)-little he-began to-say who is Macarius no-one except —
Βασίλειος καὶ Γρηγόριος.» Εἶτα μετὰ μικρὸν ἤρξατο καὶ
Basil and Gregory then after (a)-little he-began also
τούτους εὐτελίζειν, λέγων· «Τίς ἐστι Βασίλειος, καὶ τίς ἐστι
these to-disparage saying who is Basil and who is

Γρηγόριος; Οὐδείς, εἰ μὴ Παῦλος καὶ Πέτρος.» Λέγω
Gregory no-one except — Paul and Peter I-say
αὐτῷ, Ὄντως, ἀδελφέ, καὶ τούτους ἔχει ἐξουδενῶσαι.
to-him truly brother also these he-will to-despise
Πιστεύσατέ μοι, ὅτι μετ᾽ ὀλίγον καιρὸν ἤρξατο λέγειν,
believe me that after (a)-little time he-began to-say
«Τίς ἐστι Πέτρος καὶ τίς ἐστι Παῦλος; Οὐδείς, εἰ μὴ
who is Peter and who is Paul no-one except —
ἡ ἁγία Τριάς.» Οὕτως ὕστερον καὶ κατ᾽ αὐτοῦ τοῦ Θεοῦ
the holy Trinity thus later also against the-very — God
ὑπερηφανεύθη, καὶ οὕτως ἐξέστη. Διὰ τοῦτο ὀφείλομεν
he-was-proud and thus he-lost-his-mind because-of this we-ought
ἀγωνίζεσθαι, ἀδελφοί μου, πρὸς τὴν πρώτην ὑπερηφανίαν,
to-strive brothers my against the first pride
ἵνα μὴ κατὰ μικρὸν ἐμπέσωμεν καὶ εἰς τελείαν ὑπερηφανίαν.
that not by little we-fall also into perfect pride
5 Ἔστι δὲ καὶ κοσμικὴ ὑπερηφανία, καὶ μοναχική. Ἡ
there-is and also (a)-worldly pride and (a)-monastic(-one) the
κοσμικὴ ὑπερηφανία ἐστίν, ὅταν τις ὑπερηφανεύηται κατὰ
worldly pride is when someone is-proud against
τοῦ ἀδελφοῦ, ὡς πλουσιώτερος, ἢ ὡς εὐμορφότερος αὐτοῦ,
the brother as richer or as handsomer than-he
ἢ ὡς καλῶς φορῶν πλέον αὐτοῦ, ἢ ὡς γενναιότερος αὐτοῦ.
or as well dressing more than-he or as nobler than-he
Ὅταν οὖν βλέπωμεν ἑαυτοὺς κενοδοξοῦντας ἐν τούτοις, ἢ
when then we-see ourselves vainglorious in these(-things) or
ὅτι τὸ μοναστήριον ἡμῶν μεῖζον, ἢ εὐπορώτερον, ἢ ὅτι
that the monastery our (is)-greater or more-prosperous or that
ἔχομεν πολλοὺς ἀδελφούς, ὀφείλομεν εἰδέναι ὅτι ἀκμὴν
we-have many brothers we-ought to-know that still
ἐσμὲν ἐν τῇ κοσμικῇ ὑπερηφανίᾳ. Ἔστι δὲ ὅτε καὶ
we-are in the worldly pride there-is and (a-time)-when also

εἰς φυσικά τινα κενοδοξεῖ τις. Οἷόν τι λέγω·
in natural some(-things) is-vainglorious someone for-example something I-say
Κενοδοξεῖ τις ὅτι καλλίφωνός ἐστι καὶ καλῶς ψάλλει, ἢ
is-vainglorious someone that well-voiced he-is and well chants or
ὅτι ἐστὶν ἐπιεικὴς καὶ καθαρίως ὑπηρετεῖ. Ταῦτα σεμνότερα
that he-is diligent and cleanly serves these more-respectable
μέν εἰσι τῶν πρώτων· ὅμως καὶ αὐτὰ τῆς κοσμικῆς
indeed are than-the first(-ones) nevertheless also these (are)-of-the worldly
ὑπερηφανίας. Ἡ δὲ μοναχικὴ ὑπερηφανία ἐστίν, ὅτε
pride the but monastic pride is when
κενοδοξεῖ τις, ὡς ἀγρυπνῶν, ὡς νηστεύων, ὡς εὐλαβής, ὡς
is-vainglorious someone as keeping-vigil as fasting as devout as
πολιτείας, ὡς σπουδαῖος. Ἔστι δὲ ὅτε καὶ ταπεινοῦταί
of-(good)-conduct as zealous there-is and (a-time)-when also humbles-himself
τις διὰ δόξαν. Ταῦτα τῆς μοναχικῆς ὑπερηφανίας
someone for glory these(-things) of-the monastic pride
ἐστίν. Ἐνδέχεται ἡμῖν μὴ ὅλως ὑπερηφανεύεσθαι· εἰ δέ,
are it-is-possible for-us not at-all to-be-proud if but
κἂν εἰς τὰ μοναχικὰ ὑπερηφανεύεσθαι, καὶ μὴ εἰς τὰ
even in the monastic(-things) to-be-proud and not in the
κοσμικά. Ἰδοὺ εἴπομεν τίς ἐστιν ἡ πρώτη ὑπερηφανία,
worldly(-things) behold we-have-said what is the first pride
καὶ τίς ἐστιν ἡ δευτέρα, ὁμοίως εἴπομεν τίς ἐστιν ἡ
and what is the second likewise we-have-said what is the
κοσμική, καὶ τίς ἐστι μοναχικὴ ὑπερηφανία. Μάθωμεν
worldly and what is (the)-monastic pride let-us-learn
λοιπὸν ποῖαί εἰσι καὶ αἱ δύο ταπεινώσεις.
henceforth what are also the two humilities
Ἡ πρώτη ταπείνωσίς ἐστι, τὸ ἔχειν τινὰ τὸν ἀδελφὸν 6
the first humility is the to-hold someone the brother
αὐτοῦ συνετώτερον ἑαυτοῦ, καὶ εἰς πάντα ὑπερέχοντα
his more-intelligent than-himself and in all(-things) superior

ἑαυτοῦ, καὶ ἁπλῶς, ὡς εἶπεν ἐκεῖνος ὁ ἅγιος, τὸ εἶναι
to-himself and simply as said that the holy(-man) the to-be
ὑποκάτω πάντων. Ἡ δὲ δευτέρα ταπείνωσίς ἐστι, τὸ
under all the and second humility is the
ἐπιγράφειν τῷ Θεῷ τὰ κατορθώματα. Αὕτη ἐστὶν ἡ
to-ascribe — to-God the achievements this is the
τελεία ταπείνωσις, τῶν ἁγίων. Αὕτη ἡ φυσικῶς γινομένη
perfect humility of-the saints this the naturally coming-about
ἐν τῇ ψυχῇ, ἐκ τῆς ἐνεργείας τῶν ἐντολῶν. Ὥσπερ
in the soul from the working of-the commandments as
γὰρ τὰ δένδρα ὅταν βαστάζει καρπὸν πολύν, αὐτὸς ὁ
for the trees when bears fruit much the-very the
καρπὸς κάμπτει κάτω τοὺς κλάδους, καὶ κατασπᾷ αὐτούς,
fruit bends down the branches and draws-down them
ὁ δὲ κλάδος ὁ μὴ βαστάζων καρπόν, ὑψοῦται ἄνω
the but branch the(-one) not bearing fruit is-raised up
καὶ ἀνέρχεται ὀρθός· εἰσὶ δέ τινα τῶν δένδρων, καὶ
and goes-up straight there-are and some of-the trees also
ἐφ' ὅσον μὲν ἀνέρχεται ὁ κλάδος αὐτῶν ἄνω, οὐ
on as-much-as indeed goes-up the branch their upward not
βαστάζει καρπόν· ἐὰν δὲ λάβῃ τις λίθον καὶ κρεμάσῃ
it-bears fruit if but takes someone (a)-stone and hangs
αὐτὸν εἰς τὸν κλάδον, καὶ κατασπάσῃ αὐτὸν κάτω, τότε
it on the branch and draws-down it down then
ποιεῖ καρπόν· οὕτως ἐστὶ καὶ ἡ ψυχή· ὅταν ταπεινοῦται,
it-makes fruit thus is also the soul when it-is-humbled
τότε καρπὸν φέρει, καὶ ὅσον ποιεῖ καρπόν, τοσοῦτον
then fruit it-bears and as-much-as it-makes fruit so-much
ταπεινοῦται. Καὶ ὅσον γὰρ ἐγγίζουσιν οἱ ἅγιοι τῷ Θεῷ,
it-is-humbled and as-much-as for draw-near the saints — to-God
τοσοῦτον βλέπουσιν ἑαυτοὺς ἁμαρτωλούς. Μέμνημαι ὅτι
so-much they-see themselves (as)-sinners I-remember that

ἐλαλοῦμέν ποτε περὶ ταπεινώσεως, καί τις τῶν λαμπρῶν
we-were-speaking once about humility and one of-the notables
Γάζης ἀκούων ἡμῶν λεγόντων τοῦτο, ὅτι ὅσον ἐγγίζει
of-Gaza hearing us saying this that as-much-as draws-near
τις τῷ Θεῷ, τοσοῦτον βλέπει ἑαυτὸν ἁμαρτωλόν,
someone — to-God so-much he-sees himself (a)-sinner
ἐξενίζετο, καὶ ἔλεγε· «Πῶς ἐνδέχεται τοῦτο;» καὶ ἠγνόει
was-astonished and said how is-possible this and was-ignorant
θέλων μαθεῖν τὸν λόγον. Λέγω αὐτῷ· «Κῦρι ὁ πρωτεύων,
wishing to-learn the saying I-say to-him sir the first(-man)
εἰπέ μοι, τί ἔχεις σαυτὸν εἰς τὴν πόλιν σου;» Λέγει
tell me what do-you-hold yourself in the city your says
ἐκεῖνος, «Ἔχω ἐμαυτὸν μέγαν καὶ πρῶτον τῆς πόλεως.»
he I-hold myself great and first of-the city
Λέγω αὐτῷ· «Ἐὰν δὲ ἀπέλθῃς εἰς Καισάρειαν, τί ἔχεις
I-say to-him if but you-go to Caesarea what do-you-hold
ἑαυτὸν ἐκεῖ;» λέγει, «Ἔχω ἐμαυτὸν εὐτελέστερον τῶν
yourself there he-says I-hold myself lesser than-the
μεγάλων τῶν ἐκεῖ.» Λέγω αὐτῷ, «Ἐὰν δὲ ἀπέλθῃς
great(-men) the(-ones) there I-say to-him if but you-go
εἰς Ἀντιόχειαν, τί ἔχεις σεαυτόν;» Λέγει μοι ἐκεῖνος·
to Antioch what do-you-hold yourself says to-me he
«Ἔχω ἐμαυτὸν ὡς ἕνα παγανόν.» Λέγω αὐτῷ· «Ἐὰν δὲ
I-hold myself as one rustic I-say to-him if but
εἰς Κωνσταντίνου πόλιν ἀπέλθῃς ἐγγὺς τοῦ βασιλέως, ἐκεῖ
to Constantine's city you-go near the emperor there
τί ἔχεις ἑαυτόν;» Λέγει μοι ἐκεῖνος· «Ἔχω ἐμαυτὸν
what do-you-hold yourself he-says to-me he I-hold myself
ἕνα πένητα.» Τότε λέγω αὐτῷ, «Ἰδού, οὕτως εἰσὶν οἱ
(as)-one poor(-man) then I-say to-him behold thus are the
ἅγιοι· ὅσον ἐγγίζουσι τῷ Θεῷ, τοσοῦτον ἁμαρτωλοὺς
saints as-much-as they-draw-near — to-God so-much (as)-sinners

βλέπουσιν ἑαυτούς. Ἀβραὰμ γὰρ ὅτε εἶδε τὸν Κύριον, γῆν
they-see themselves Abraham for when he-saw the Lord earth
καὶ σποδὸν ἑαυτὸν ἐκάλεσεν· Ἡσαΐας δὲ ἔλεγεν, Ὢ τάλας
and ashes himself called Isaiah but said O wretched
καὶ ἀκάθαρτός εἰμι ἐγώ. Ὁμοίως καὶ ὁ Δανιὴλ ὅτε ἦν
and unclean am I likewise also — Daniel when he-was
εἰς τὸν λάκκον μετὰ τῶν λεόντων, καὶ ἀπῆλθεν Ἀββακούκ,
in the pit with the lions and came Habakkuk
ἔχων τὸν ἄρτον, λέγων αὐτῷ· Δέξαι τὸ ἄριστον ὃ
having the bread saying to-him receive the dinner which
ἔπεμψέ σοι ὁ Θεός, ἀπεκρίθη λέγων· Ἐμνήσθη γάρ μου
sent you — God he-answered saying remembered for me
ὁ Θεός; Οἵαν ταπείνωσιν ἔσχεν ἡ καρδία αὐτοῦ, ὅτε ἦν
— God what humility had the heart his when he-was
εἰς τὸν λάκκον μετὰ τῶν λεόντων, καὶ οὐκ ἔβλαπτον
in the pit with the lions and not they-harmed
αὐτόν, καὶ οὐ μόνον ἅπαξ, ἀλλὰ καὶ δεύτερον· καὶ μετὰ
him and not only once but also (a)-second(-time) and after
ταῦτα ἐθαύμασε, λέγων· Ἐμνήσθη γάρ μου ὁ Θεός;»
these(-things) he-marveled saying remembered for me — God

7 Βλέπετε τὴν ταπείνωσιν τῶν ἁγίων, πῶς διάκεινται αἱ
see the humility of-the saints how are-disposed the
καρδίαι αὐτῶν; Ἀλλ' οὐδὲ πεμπόμενοι παρὰ τοῦ Θεοῦ πρὸς
hearts their but nor being-sent by — God for
βοήθειαν τῶν ἀνθρώπων, κατεδέχοντο ἀπὸ ταπεινώσεως,
help of-the men accepted(-it) from humility
φεύγοντες τὸ δοξασθῆναι. Ὥσπερ γάρ τις ἐνδεδυμένος
fleeing the to-be-glorified as for someone clothed-in
ὁλοσήρικον, ἐὰν ῥιφῇ κατ' αὐτοῦ ῥάκος ἀκάθαρτον,
all-silk if be-thrown upon him (a)-rag unclean
φεύγει ἵνα μὴ μιανθῇ τὸ ἔνδυμα αὐτοῦ τὸ τίμιον· οὕτως
flees that not be-soiled the garment his the precious thus

εἰσὶ καὶ οἱ ἅγιοι ἐνδεδυμένοι τὰς ἀρετάς, καὶ φεύγουσι τὴν
are also the saints clothed-in the virtues and flee the
ἀνθρωπίνην δόξαν, ἵνα μὴ μιανθῶσιν ὑπ᾽ αὐτῆς. Οἱ δὲ
human glory that not they-be-soiled by it the(-ones) but
θέλοντες τὴν δόξαν, ὅμοιοί εἰσι τινὶ γυμνῷ, ὅστις ἀεὶ
wishing the glory like are to-some naked(-man) who always
θέλει εὑρεῖν μικρὸν ῥάκος ἢ εἴ τι δήποτε, ἵνα σκεπάσῃ
wishes to-find (a)-small rag or if anything whatever that he-may-cover
τὴν ἀσχημοσύνην αὐτοῦ. Οὕτως καὶ ὁ γυμνὸς ἀπὸ
the shame his thus also the(-one) naked of
ἀρετῶν, ζητεῖ τὴν δόξαν τῶν ἀνθρώπων. Πεμπόμενοι οὖν
virtues seeks the glory of-the men being-sent then
οἱ ἅγιοι παρὰ τοῦ Θεοῦ πρὸς βοήθειαν τῶν ἀνθρώπων,
the saints by — God for help of-the men
Θεοῦ, οὐκ ἔτι οἶδα ἐμαυτὸν ὀχληθέντα, οὔτε ὑπὸ λύπης,
of-God no longer I-know myself troubled neither by grief
οὔτε ὑπὸ δειλίας· ἀλλ' ἐσκέπασέ με ὁ Κύριος μέχρι τοῦ
nor by fear but covered me the Lord until the
νῦν, διὰ τῶν εὐχῶν ἐκείνων τῶν ἁγίων γερόντων.
now through the prayers of-those the holy elders
Ταῦτα εἶπον ὑμῖν, ἵνα γνῶτε πόσην ἔχει ἀνάπαυσιν 6
these(-things) I-told you that you-may-know how-much has rest
καὶ ἀμεριμνίαν μετὰ καὶ πάσης ἀσφαλείας, τὸ μὴ στοιχεῖν
and freedom-from-care with also all security the not to-follow
τινα ἑαυτῷ, ἀλλ' ἐπιῤῥίπτειν τὰ καθ' ἑαυτὸν ἐπὶ
someone himself but to-cast the(-things) concerning himself upon
τὸν Θεόν, ἐπὶ τοὺς δυναμένους μετὰ Θεὸν ὁδηγῆσαι
— God upon the(-ones) able after God to-guide
αὐτόν· μάθετε οὖν καὶ ὑμεῖς ἐρωτᾷν ἀδελφοί· μάθετε μὴ
him learn then also you to-ask brothers learn not
στοιχεῖν ἑαυτοῖς, καλόν ἐστι. Ταπείνωσίς ἐστιν, ἀνάπαυσίς
to-follow yourselves good it-is humility it-is rest
ἐστι, χαρά ἐστι. Τίς ἡ χρεία αὐτοῦ συντρίβεσθαί τινα
it-is joy it-is what (is)-the need for-him to-be-crushed someone
εἰς μάτην; Οὐκ ἐνδέχεταί τινα ἄλλως σωθῆναι εἰ
in vain not it-is-possible (for)-someone otherwise to-be-saved except
μὴ οὕτως· ἴσως δὲ ἐνθυμεῖταί τις ὅτι ἐὰν μὴ ἔχει τίς
— thus perhaps and thinks someone that unless — has someone

τινα ἐπερωτῆσαι, τί ἔχει ποιῆσαι. Ὄντως ἐὰν ἐν ἀληθείᾳ
anyone to-ask what has-he to-do truly if in truth
θελήσῃ τις τὸ θέλημα τοῦ Θεοῦ ἐν ὅλῃ καρδίᾳ, οὐδέποτε
wish someone the will — of-God in whole heart never
ἀφήσιν αὐτὸν ὁ Θεός· ἀλλὰ πάντως ὁδηγεῖ αὐτὸν
leaves him — God but by-all-means guides him
κατὰ τὸ θέλημα αὐτοῦ. Ὄντως ἐὰν κατευθύνῃ τις τὴν
according-to the will his truly if direct someone the
καρδίαν ἑαυτοῦ πρὸς τὸ θέλημα τοῦ Θεοῦ, παιδίον μικρὸν
heart his-own toward the will — of-God (a)-child small
φωτίζει ὁ Θεὸς εἰπεῖν αὐτῷ τὸ θέλημα αὐτοῦ. Ἐὰν δὲ
illumines — God to-tell him the will his if but
μὴ θέλῃ τις μετὰ ἀληθείας τὸ θέλημα τοῦ Θεοῦ, καὶ
not wish someone with truth the will — of-God even
πρὸς προφήτην ἐὰν ἀπέλθῃ, πρὸς τὴν καρδίαν αὐτοῦ
to (a)-prophet if he-go according-to the heart his
τὴν στρεβλήν, δίδωσιν δὴ ὁ Θεὸς εἰς τὴν καρδίαν
the crooked gives indeed — God into the heart
τοῦ προφήτου ἀποκριθῆναι αὐτῷ, καθὼς λέγει ἡ Γραφή·
of-the prophet to-answer him as says the Scripture
Ἐὰν πλανηθῇ καὶ λαλήσῃ ὁ προφήτης, ἐγὼ Κύριος
if be-deceived and speak the prophet I (the)-Lord
ἐπλάνησα τὸν προφήτην ἐκεῖνον. Διὰ τοῦτο ὀφείλομεν
deceived the prophet that because-of this we-ought
πάσῃ δυνάμει κατευθύνειν ἑαυτοὺς πρὸς τὸ θέλημα τοῦ
with-all power to-direct ourselves toward the will —
Θεοῦ, καὶ μὴ πιστεύειν τῇ ἰδίᾳ καρδίᾳ· ἀλλὰ καὶ καλὸν
of-God and not to-trust the own heart but even (a)-good
πρᾶγμα ἐὰν ᾖ, καὶ ἀκούσωμεν παρά τινος ἁγίου ὅτι
thing if it-be and we-hear from some holy(-man) that
καλόν ἐστιν, ὀφείλομεν ἔχειν μὲν ὅτι καλόν, μὴ πιστεύειν
good it-is we-ought to-hold indeed that (it-is)-good not to-trust

δὲ ἑαυτοῖς, ὅτι ἤδη καὶ καλῶς ποιῶμεν αὐτό· καὶ ὡς
but ourselves that already also well we-do it and as
δικαίως ὀφείλει γενέσθαι. Ἀλλὰ ὀφείλομεν ποιεῖν μὲν τὴν
justly it-ought to-be-done but we-ought to-do indeed the
δύναμιν ἡμῶν, πάλιν δὲ ἀνατίθεσθαι, καὶ τὸ πῶς ποιῶμεν,
power our again but to-refer also the how we-do(-it)
καὶ μανθάνειν εἰ καὶ καλῶς αὐτὸ ἐποιήσαμεν· καὶ μετὰ
and to-learn whether also well it we-did and after
ταῦτα, μήτε οὕτως ἀμεριμνεῖν· ἀλλ᾽ ἐκδέχεσθαι καὶ τὴν
these(-things) not-even thus to-be-free-from-care but to-await also the
τοῦ Θεοῦ κρίσιν, ὥσπερ ἅγιος ἐκεῖνος εἶπεν Ἀγάθων, ὅτε
— of-God judgment as holy that(-man) said Agathon when
ἠρωτήθη, Καὶ σὺ φοβῇ, Πάτερ; ἀπεκρίνατο, ὅτι «Τέως
he-was-asked and you fear Father he-answered that meanwhile
ἐγὼ τὴν δύναμίν μου ἐποίησα, οὐκ οἶδα δὲ εἰ ἤρεσε τὸ
I the power my did not I-know but whether pleased the
ἔργον μου τῷ Θεῷ. Ἄλλο γάρ ἐστι τὸ κρῖμα τοῦ Θεοῦ,
work my — God other for is the judgment — of-God
καὶ ἄλλο τὸ τῶν ἀνθρώπων.» Ὁ Θεὸς σκεπάσει
and other the(-judgment) of-the men — God will-protect
ἡμᾶς κινδύνου τοῦ ἀπὸ τῶν στοιχούντων ἑαυτοῖς,
us from-(the)-danger the from the(-ones) following themselves
καὶ ἀξιώσει κρατῆσαι τὴν ὁδὸν τῶν πατέρων ἡμῶν
and will-deem(-us)-worthy to-hold-fast the way of-the fathers our
τῶν εὐαρεστησάντων τῷ ὀνόματι αὐτοῦ.
the(-ones) having-pleased the name his

Περὶ τοῦ μὴ κρίνειν πλησίον

VI · ON NOT JUDGING ONE'S NEIGHBOR

Judging grows from small things: slandering says what a brother did, condemning pronounces on his whole disposition, and despising loathes him. Only God judges, knowing each one's state, as two slave girls bought by a virgin and an actress show. The saints see sins without condemning, as abba Ammonas sat on the jar hiding a brother's woman; we are limbs of one body, and as lines run to a circle's center, the nearer we come to God, the nearer to one another.

1 Εἰ ἐμνημονεύομεν, ἀδελφοί, τῶν λόγων τῶν ἁγίων
if we-remembered brothers the words of-the holy
γερόντων, εἰ ἐμελετῶμεν αὐτοὺς πάντοτε, δυσχερῶς εἴχομεν
elders if we-meditated-on them always hardly we-would
ἀμελεῖν ἑαυτῶν. Εἰ γάρ, ὡς εἶπον ἐκεῖνοι, μὴ καταφρονῶμεν
to-neglect ourselves if for as said those(-men) not we-despise
τῶν μικρῶν, καὶ δοκούντων ἡμῖν εἶναι μηδαμινῶν, οὐκ
the small(-things) and seeming to-us to-be worthless not
εἴχομεν ἐμπίπτειν εἰς τὰ μεγάλα καὶ βαρέα. Ἀεὶ λέγω
we-would to-fall into the great and heavy(-things) always I-say
ὑμῖν ὅτι ἐκ τούτων τῶν λεπτῶν, ἐκ τοῦ λέγειν, Τί γάρ
to-you that from these the slight(-things) from the to-say what for
ἐστι τοῦτο; τί ἐστιν ἐκεῖνο; γίνεται κακὴ συνήθεια τῇ
is this what is that comes-about (an)-evil habit for-the
ψυχῇ, καὶ ἄρχεται εἰς τὰ μεγάλα καταφρονεῖν. Οἶδας
soul and it-begins in the great(-things) to-despise do-you-know
ποῖον βαρὺ ἁμάρτημά ἐστι τὸ κρίνειν τὸν πλησίον; τί
what heavy sin it-is the to-judge the neighbor what
γὰρ τούτου βαρύτερον; τί γὰρ οὕτως μισεῖ ὁ Θεὸς
for than-this (is)-heavier what for thus hates — God
καὶ ἀποστρέφεται, καθὼς καὶ οἱ Πάτρες εἶπον, ὅτι οὐδὲν
and turns-away-from as also the Fathers said that nothing

χεῖρον τοῦ κρῖναι; καὶ ὅμως ἀπὸ τούτων, φησίν, τῶν
(is)-worse than-the to-judge and nevertheless from these he-says the
φαινομένων εὐτελῶν, ἔρχεταί τις εἰς τὸ τοιοῦτον μέγα
seeming cheap(-things) comes someone to the such great
κακόν. Ἐκ τοῦ γὰρ δέξασθαι μικρὰν ὑπόνοιαν κατὰ τοῦ
evil from the for to-receive (a)-small suspicion against the
πλησίον, ἐκ τοῦ λέγειν, Τί γάρ ἐστιν ἐὰν εἴπω κἀγὼ
neighbor from the to-say what for is(-it) if I-say also-I
τοῦτον τὸν ἕνα λόγον; τί ἐστιν ἐὰν ἴδω τί λαλεῖ
this the one word what is(-it) if I-see what speaks
οὗτος ἀδελφός, ἢ ἐκεῖνος ὁ ξένος ποιῆσαι; Ἄρχεται ὁ
this brother or that the stranger (is-about)-to-do begins the
νοῦς ἀφιέναι τὰς ἁμαρτίας τὰς ἰδίας, καὶ ἀδολεσχεῖν εἰς
mind to-let-go the sins the own and to-chatter about
τὰ τοῦ πλησίον. Καὶ λοιπὸν ἐκ τούτου γίνεται τὸ
the(-things) of-the neighbor and henceforth from this comes the
κατακρίνειν, τὸ καταλαλεῖν, τὸ ἐξουδενεῖν· ἐκ τούτου καὶ
to-condemn the to-slander the to-despise from this also
εἰς αὐτὰ ἃ κατακρίνει τις, ἐμπίπτει. Ἐκ τοῦ γὰρ
into the-very(-things) which condemns someone he-falls from the for
μὴ μεριμνᾷν τὰ ἴδια κακά, μηδὲ κλαίειν, ὡς εἶπον οἱ
not to-care-for the own evils nor to-weep(-for) as said the
Πατέρες, τὸν ἴδιον νεκρόν, οὐ δύναται εἴς τι ἑαυτὸν
Fathers the own dead(-man) not he-can in anything himself
διορθώσασθαι, ἀλλὰ πάντοτε τὸν πλησίον ἔργῳ λαμβάνει·
to-correct but always the neighbor in-work he-takes(-up)
καὶ οὐδὲν οὕτως παροργίζει τὸν Θεόν, καὶ οὐδὲν οὕτως
and nothing thus provokes — God and nothing thus
γυμνοῖ τὸν ἄνθρωπον, καὶ φέρει εἰς ἀκατάληψιν, ὡς
strips the man and brings(-him) to incomprehension as
τὸ καταλαλεῖν, ἢ κατακρίνειν, ἢ ἐξουδενεῖν τὸν πλησίον.
the to-slander or to-condemn or to-despise the neighbor

2 Ἄλλο γάρ ἐστι τὸ καταλαλῆσαι, καὶ ἄλλο τὸ
another(-thing) for is the to-slander and another the
κατακρῖναι, καὶ ἄλλο τὸ ἐξουδενῶσαι. Τὸ καταλαλῆσαί
to-condemn and another the to-despise the to-slander
ἐστι, τὸ εἰπεῖν κατά τινος, ὅτι Ἐψεύσατο ὁ δεῖνα, ἢ ὅτι
is the to-say against someone that lied the so-and-so or that
ὠργίσθη, ἢ ὅτι ἐπόρνευσεν, ἤ τι τοιοῦτον. Ἤδη γὰρ
he-was-angry or that he-fornicated or anything such already for
κατελάλησεν αὐτοῦ, οἱονεί, ἐλάλησε κατ᾽ αὐτοῦ ἐμπαθῶς
he-slandered him as-it-were he-spoke against him passionately
τὸ ἁμάρτημα αὐτοῦ. Τὸ δὲ κατακρῖναι, ἐστὶ τὸ εἰπεῖν, ὅτι
the sin his the but to-condemn is the to-say that
Ὁ δεῖνα ψεύστης ἐστίν, ὀργίλος ἐστίν, πόρνος ἐστίν.
the so-and-so (a)-liar is irascible is (a)-fornicator is
Ἰδοὺ γὰρ κατέκρινεν αὐτὴν τὴν διάθεσιν τῆς ψυχῆς αὐτοῦ,
behold for he-condemned the-very the disposition of-the soul his
καὶ ἀπεφήνατο κατὰ ὅλου τοῦ βίου αὐτοῦ, λέγων ὅτι
and pronounced against whole the life his saying that
τοιόσδε ἐστί, καὶ κατέκρινεν αὐτὸν ὡς τοιοῦτον. Καὶ ἔστι
such he-is and condemned him as such and it-is
βαρὺ πρᾶγμα. Ἄλλο γάρ ἐστι τὸ εἰπεῖν, Ὠργίσθη,
(a)-heavy thing another(-thing) for is the to-say he-was-angry
καὶ ἄλλο, τὸ εἰπεῖν ὅτι ὀργίλος ἐστί, καὶ ἀποφήνασθαι,
and another the to-say that irascible he-is and to-pronounce
ὡς εἶπον, κατ᾽ αὐτῆς ὅλης τῆς ζωῆς αὐτοῦ. Καὶ τοσοῦτόν
as I-said against itself whole the life his and so-much
ἐστι βαρὺ τὸ κατακρῖναι ὑπὲρ ἑκάστην ἁμαρτίαν, ὥστε
is heavy the to-condemn beyond every sin that
αὐτὸν τὸν Χριστὸν λέγειν· Ὑποκριτά, ἔκβαλε πρῶτον τὴν
the-very — Christ to-say hypocrite cast-out first the
δοκὸν τὴν ἐν τῷ ὀφθαλμῷ σου, καὶ τότε διαβλέψεις
beam the(-one) in the eye your and then you-will-see-clearly

ἐκβαλεῖν τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ τοῦ ἀδελφοῦ σου.
to-cast-out the mote from the eye of-the brother your
Καὶ ἀπείκασε τὴν ἁμαρτίαν τοῦ πλησίον πρὸς τὸ κάρφος·
and he-likened the sin of-the neighbor to the mote
τὸ δὲ κατακρίνειν πρὸς τὴν δοκόν, τοσοῦτον χαλεπόν ἐστι
the but to-condemn to the beam so grievous is
τὸ κατακρῖναι, σχεδὸν ὑπὲρ πᾶσαν ἁμαρτίαν. Καὶ ἐκεῖνος
the to-condemn almost beyond every sin and that
δὲ ὁ Φαρισαῖος εὐχόμενος καὶ εὐχαριστῶν τῷ Θεῷ διὰ
too the Pharisee praying and thanking — God for
τὰ κατορθώματα αὐτοῦ, οὐκ ἐψεύσατο, ἀλλὰ τὴν ἀλήθειαν
the achievements his not he-lied but the truth
ἔλεγεν· καὶ οὐ διὰ τοῦτο κατεκρίθη. Χρεωστοῦμεν γὰρ
he-spoke and not because-of this he-was-condemned we-owe for
εὐχαριστεῖν τῷ Θεῷ, ἐπειδὰν ἀξιωθῶμέν τι ἀγαθὸν
to-thank — God whenever we-are-deemed-worthy anything good
ποιῆσαι, ὡς αὐτοῦ συνεργήσαντος, καὶ βοηθήσαντος ἡμῖν.
to-do as him having-co-worked and having-helped us
Διὰ τοῦτο, ὡς εἶπον, οὐ κατεκρίθη, ὅτι εἶπεν, Οὐκ εἰμὶ
because-of this as I-said not he-was-condemned because he-said not I-am
ὡς οἱ λοιποὶ τῶν ἀνθρώπων· ἀλλ᾽ ὅτι στραφεὶς πρὸς τὸν
as the rest of-the men but because having-turned to the
τελώνην, εἶπεν, Οὐδὲ ὡς ὁ τελώνης οὗτος· τότε κατεκρίθη·
tax-collector he-said nor as the tax-collector this then he-was-condemned
κατέκρινε γὰρ αὐτοῦ τοῦ προσώπου, αὐτῆς διαθέσεως τῆς
he-condemned for of-the-very the person of-the-very disposition of-the
ψυχῆς αὐτοῦ, καὶ ἁπλῶς εἰπεῖν, ὅλου τοῦ βίου αὐτοῦ. Διὰ
soul his and simply to-say of-whole the life his because-of
τοῦτο κατέβη ὁ τελώνης δεδικαιωμένος ὑπὲρ ἐκεῖνον.
this went-down the tax-collector justified rather-than that(-one)

3 Οὐδὲν γὰρ βαρύτερον, οὐδὲ χαλεπώτερον, ὡς πολλάκις
nothing for (is)-heavier nor more-grievous as often
λέγω, τοῦ κατακρῖναι, ἢ ἐξουδενῶσαι τὸν πλησίον. Διὰ
I-say than-the to-condemn or to-despise the neighbor for
τί μὴ μᾶλλον ἑαυτοὺς κατακρίνομεν, καὶ τὰ κακὰ ἡμῶν
what not rather ourselves do-we-condemn and the evils our
ἀκριβῶς οἴδαμεν, καὶ περὶ ὧν μέλλομεν λόγον δοῦναι τῷ
exactly we-know and about which we-are-about (an)-account to-give —
Θεῷ; Τί ἁρπάζομεν τὸ κρῖμα τοῦ Θεοῦ; Τί θέλομεν
to-God why do-we-seize the judgment — of-God why do-we-want(-anything)
ἐκ τοῦ πλάσματος αὐτοῦ; οὐκ ὀφείλομεν τρέμειν ἀκούοντες
of the creature his not ought-we to-tremble hearing
τῷ μεγάλῳ γέροντι ἐκείνῳ τί συνέβη, τῷ ἀκούσαντι
for-the great elder that what happened to-him having-heard
περί τινος ἀδελφοῦ πεσόντος εἰς πορνείαν, καὶ εἰπόντι, «Ὢ
about some brother fallen into fornication and having-said oh
κακῶς ἐποίησεν;» Οὐκ οἴδατε ποῖον φρικτὸν λέγει περὶ
badly he-did not do-you-know what dreadful(-thing) it-says about
αὐτοῦ εἰς τὸ Γεροντικόν; Ὅτι ἀπήνεγκεν ὁ ἅγιος ἄγγελος
him in — Book-of-the-Elders that brought the holy angel
τὴν ψυχὴν τοῦ ἁμαρτήσαντος πρὸς αὐτόν, καὶ λέγει
the soul of-the(-one) having-sinned to him and says
αὐτῷ· «Ἴδε ὃν ἔκρινας, ἐκοιμήθη· ποῦ οὖν κελεύεις βάλω
to-him see whom you-judged has-fallen-asleep where then do-you-bid I-put
αὐτόν, εἰς βασιλείαν ἢ εἰς τὴν κόλασιν;» Ἔστι δὲ τούτου
him into (the)-kingdom or into the punishment is and of-this
τοῦ βάρους τι φοβερώτερον; Τί ἄλλο ἐστὶν ὁ λόγος
the weight something more-fearful what else is the word
τοῦ ἀγγέλου πρὸς τὸν γέροντα, εἰ μὴ τοῦτο; «Ἐπειδὴ σὺ
of-the angel to the elder if not this since you
εἶ ὁ κριτὴς τῶν δικαίων καὶ τῶν ἁμαρτωλῶν, εἰπὲ τί
are the judge of-the righteous and of-the sinners say what

κελεύεις περὶ τῆς ταπεινῆς ψυχῆς ταύτης· ἐλεεῖς αὐτήν;
you-bid about the humble soul this do-you-pity her
κολάζεις αὐτήν;» Ὥστε τὸν ἅγιον γέροντα, ὑπερεκπλαγέντα
do-you-punish her so-that the holy elder exceedingly-astonished
μεῖναι ὅλον τὸ ὑπόλοιπον αὐτοῦ χρόνον μετὰ στεναγμῶν,
to-remain whole the remaining his time with groans
μετὰ δακρύων, μετὰ μυρίων πόνων· δεόμενον τοῦ Θεοῦ
with tears with ten-thousand labors beseeching — God
συγγνῶναι αὐτῷ περὶ τῆς ἁμαρτίας ἐκείνης. Καὶ ταῦτα
to-pardon him concerning the sin that and these(-things)
μετὰ τὸ πεσεῖν αὐτὸν ἐπὶ πρόσωπον πρὸς τοὺς πόδας τοῦ
after the to-fall him on (his)-face at the feet of-the
ἀγγέλου, καὶ λαβεῖν συγχώρησιν. Τὸ γὰρ εἰπεῖν τὸν ἄγγελον·
angel and to-receive forgiveness the for to-say the angel
«Ἰδοὺ ἔδειξέ σοι ὁ Θεὸς τί ἐστι τὸ βάρος τοῦ κατακρῖναι,
behold showed you — God what is the weight of-the to-condemn
μηκέτι ποιήσῃς,» τὸ πρᾶγμα τοῦτο συγχωρήσαντος ἦν,
no-longer do the thing this of-one-pardoning was
καὶ ὅμως οὐκ ἠνέσχετο ὅλως παρακληθῆναι ἡ ψυχὴ
and nevertheless not it-bore at-all to-be-consoled the soul
τοῦ γέροντος ἀπὸ τοῦ πένθους ἐκείνου, ἕως ὅτου ἀπέθανε.
of-the elder from the mourning that until when he-died
Τί οὖν θέλομεν καὶ ἡμεῖς ἀπὸ τοῦ πλησίον; Τί θέλομεν 4
what then do-we-want also we from the neighbor what do-we-want
ἀπὸ ἀλλοτρίου βάρους; Ἔχομέν τι μεριμνῆσαι, ἀδελφοί,
from another's burden we-have something to-care-about brothers
ἕκαστος ἑαυτῷ πρόσχῃ καὶ τοῖς ἰδίοις κακοῖς. Θεοῦ μόνου
each to-himself let-him-attend and to-the own evils of-God alone
ἐστί, τὸ δικαιῶσαι καὶ τὸ κατακρῖναι, τοῦ εἰδότος
it-is the to-justify and the to-condemn of-the(-one) knowing
καὶ τὴν κατάστασιν ἑκάστου, καὶ τὴν δύναμιν, καὶ τὰς
both the state of-each and the power and the

ἀνατροφάς, καὶ τὰ χαρίσματα, καὶ τὴν κρᾶσιν, καὶ τὴν
upbringings and the gifts and the temperament and the
ἐπιτηδειότητα πρὸς ἕνα ἕκαστον τούτων κρίνοντος καθὼς
fitness toward one each of-these judging as
οἶδεν αὐτὸς μόνος. Ἄλλως γὰρ κρίνει ὁ Θεὸς τὰ τοῦ
knows he alone otherwise for judges — God the(-matters) of-the
ἐπισκόπου, καὶ ἄλλως τὰ τοῦ ἄρχοντος, ἄλλως κρίνει
bishop and otherwise the(-matters) of-the ruler otherwise he-judges
τὰ τοῦ ἡγουμένου, καὶ ἄλλως τὰ τοῦ μαθητοῦ,
the(-matters) of-the abbot and otherwise the(-matters) of-the disciple
ἄλλως τὰ τοῦ γέροντος, καὶ ἄλλως τὰ τοῦ
otherwise the(-matters) of-the elder and otherwise the(-matters) of-the
νεωτέρου, ἄλλως τὰ τοῦ ἀσθενοῦντος, καὶ ἄλλως
younger(-man) otherwise the(-matters) of-the(-one) being-ill and otherwise
τὰ τοῦ ὑγιαίνοντος. Καὶ τίς δύναται ταῦτα τὰ
the(-matters) of-the healthy(-one) and who can these the
κρίματα εἰδέναι, εἰ μὴ αὐτὸς μόνος ὁ ποιήσας τὰ
judgments to-know except — he alone the(-one) having-made the
πάντα, ὁ καὶ πλάσας πάντα, καὶ γινώσκων πάντα;
all(-things) the(-one) also having-fashioned all(-things) and knowing all(-things)
Μέμνημαι ἀκούσας ὅτι ποτὲ ἐγένετο πρᾶγμα τοιοῦτον·
I-remember having-heard that once happened (a)-thing such
πλοῖον ἀνδραπόδων παραβαλεῖν εἰς πόλιν τινά. Ἦν δὲ
(a)-ship of-slaves to-put-in at city some was and
ἐν ἐκείνῃ τῇ πόλει μία παρθένος ἁγία πάνυ προσέχουσα
in that the city one virgin holy very attending
ἑαυτῇ· αὕτη μαθοῦσα ὅτι παρέβαλε τὸ πλοῖον ἐκεῖνο,
to-herself she having-learned that put-in the ship that
ἐχάρη. Ἐπεθύμει γὰρ ἀγοράσαι ἑαυτῇ ἓν κοράσιον μικρὸν
rejoiced she-desired for to-buy for-herself one girl small
πάνυ. Ἐλογίσατο γάρ, ὅτι Λαμβάνω καὶ ἀνατρέφομαι
very she-reckoned for that I-take and bring-up

αὐτήν, ὡς θέλω, ἵνα μηδὲν οἶδεν τῆς κακίας τοῦ κόσμου
her as I-wish that nothing she-know of-the vice of-the world
τούτου, καὶ πέμψασα μεταστέλλεται τὸν ναύκληρον τοῦ
this and having-sent she-summons the ship-master of-the
πλοίου ἐκείνου, καὶ εὑρίσκει αὐτὸν ἔχοντα δύο κοράσια
ship that and finds him having two girls
πάνυ μικρά, οἷα ἰδικῶς ἐπεθύμει ἡ παρθένος, καὶ
very small such-as particularly desired the virgin and
εὐθέως μετὰ χαρᾶς παρέχει τὴν τιμήν, καὶ λαμβάνει τὸ
immediately with joy provides the price and takes the
ἓν κοράσιον πρὸς ἑαυτήν. Ὡς οὖν κατῆλθεν ὁ ναύκληρος,
one girl to herself when then went-down the ship-master
ὅθεν ἡ ἁγία ἐκείνη μόνον περιεπάτησε μικρόν, καὶ
from-where the holy that(-woman) only he-walked (a)-little and
ἀπαντᾷ αὐτῷ μία θυμελικὴ παντάχρηστος, καὶ βλέπει τὸ
meets him one actress all-depraved and sees the
ἄλλο κοράσιον μετ' αὐτοῦ, καὶ ἐπεθύμησε λαβεῖν αὐτό, καὶ
other girl with him and desired to-take it and
λαμβάνει· συμφωνεῖ καὶ παρέχει τὴν τιμήν, καὶ ἀπέρχεται.
takes(-it) agrees and provides the price and goes-off
Αὐτὸ βλέπετε μυστήριον Θεοῦ, βλέπετε κρῖμα. Τίς
this see (the)-mystery of-God see (the)-judgment who
δύναται δοῦναι περὶ τούτου λόγον; Λαμβάνει οὖν ἡ ἁγία
can to-give about this (an)-account takes then the holy
παρθένος τὴν μικρὰν ἐκείνην, καὶ ἀνατρέφει αὐτὴν εἰς τὸν
virgin the little that(-one) and brings-up her in the
φόβον τοῦ Θεοῦ, τυποῦσα αὐτὴν εἰς πᾶν ἔργον ἀγαθόν,
fear — of-God shaping her for every work good
διδάσκουσα αὐτὴν πᾶσαν τὴν μοναχικὴν κατάστασιν, καὶ
teaching her all the monastic state and
πᾶσαν ἁπλῶς τὴν εὐωδίαν τῶν ἁγίων ἐντολῶν τοῦ Θεοῦ.
all simply the fragrance of-the holy commandments — of-God

Λαβοῦσα καὶ ἡ θυμελικὴ τὴν ἀθλίαν ἐκείνην, ἀπετέλεσεν
having-taken also the actress the wretched that(-girl) made
αὐτὴν ἐργαλεῖον τοῦ διαβόλου. Τί γὰρ ἄλλο εἶχεν ἡ ὀργὴ
her (a)-tool of-the devil what for else had the fury
ἐκείνη διδάξαι αὐτῇ, εἰ μὴ τὴν ἀπώλειαν τῆς ψυχῆς
that to-teach her except — the perdition of-the soul
αὐτῆς; Τί οὖν δυνάμεθα εἰπεῖν περὶ τοῦ φοβεροῦ κρίματος
her what then can-we to-say about the fearful judgment
τούτου; αἱ δύο μικραὶ ἦσαν, αἱ δύο ἐπράθησαν μήτε εἰδυῖαι
this the two little(-girls) were the two were-sold not-even knowing
ποῦ ἀπέρχονται, καὶ εὑρέθη ἡ μία εἰς τὰς χεῖρας τοῦ Θεοῦ,
where they-were-going and was-found the one in the hands — of-God
καὶ ἡ ἄλλη ἐνέπεσεν εἰς τὰς χεῖρας τοῦ διαβόλου. Ἆρα
and the other fell into the hands of-the devil can-it-be
οὖν δυνατόν ἐστιν εἰπεῖν ὅτι ἀπαιτεῖ αὐτὴν ὁ Θεός, ἀπαιτεῖ
then possible it-is to-say that requires of-her — God he-requires
καὶ τὴν ἄλλην; πῶς ἐγχωρεῖ; ἄρα ἐὰν αἱ δύο ἐμπέσωσιν
also of-the other how is-it-possible then if the two fall
εἰς πορνείαν, ἢ εἰς ἄλλο παράπτωμα, δυνατόν ἐστιν εἰπεῖν
into fornication or into other transgression possible is(-it) to-say
ὅτι τὸ αὐτὸ κρῖμα ἔχουσιν αἱ δύο, κἂν τὸ αὐτὸ σφάλμα
that the same judgment have the two even-if the same fault
συμβῇ ἀμφοτέραις; Πῶς ἐνδέχεται, αὕτη ἔμαθε τὰ
befall both how is-it-possible this(-one) learned the(-things)
περὶ τῆς κρίσεως, ἔμαθε τὰ περὶ τῆς βασιλείας τοῦ
about the judgment learned the(-things) about the kingdom —
Θεοῦ, ἡμέρας καὶ νυκτὸς εἰς τὰ λόγια τοῦ Θεοῦ· ἐκείνη
of-God day and night in the oracles — of-God that
ἡ ἀθλία οὐδέποτε οἶδεν, ἢ ἤκουσέ τι ἀγαθόν, ἀλλὰ τὸ
the wretch never knew or heard anything good but the

ἐναντίον, πάντα τὰ αἰσχρά, πάντα τὰ διαβολικά, καὶ
opposite all the shameful(-things) all the devilish(-things) and
πῶς ἐγχωρεῖ ἀπαιτηθῆναι ἀμφοτέρας τὴν αὐτὴν ἀκρίβειαν;
how is-it-possible to-be-required-of both the same exactness
Οὐκοῦν οὐδὲν δύναται ἄνθρωπος εἰδέναι τῶν κριμάτων τοῦ
therefore nothing can (a)-man to-know of-the judgments —
Θεοῦ, ἀλλὰ αὐτὸς μόνος ἐστὶν ὁ καταλαμβάνων πάντα,
of-God but he alone is the(-one) comprehending all(-things)
καὶ δυνάμενος τὰ καθ' ἕκαστον κρῖναι, καθὼς μόνος
and able the(-things) by each to-judge as alone
ἐπίσταται. Ἀληθῶς συμβαίνει, ὅτι ποιεῖ ἀδελφὸς πράγματά
he-knows truly it-happens that does brother things
τινα ἐν ἁπλότητι· ἔχει δὲ ἓν πρᾶγμα ὅ τι ἀρέσκει τῷ
some in simplicity he-has but one thing that which pleases —
Θεῷ ὑπὲρ ὅλην τὴν ζωήν σου, καὶ σὺ καθέζει κατακρίνων
God beyond whole the life your and you sit condemning
αὐτόν, καὶ κολάζων τὴν ψυχήν σου; Εἰ δὲ καὶ συμβῇ
him and punishing the soul your if and also it-happen
αὐτὸν ἀποστραφῆναι, πόθεν οἶδας πόσα ἠγωνίσατο, καὶ
him to-turn-away whence do-you-know how-much he-struggled and
πόσα ἔσταξε τὸ αἷμα αὐτοῦ πρὶν ἐνεργήσει· καὶ σχεδὸν
how-much dripped the blood his before he-acted(-it) and almost
εὑρίσκεται τὸ σφάλμα αὐτοῦ, ὡς δικαιοσύνη παρὰ τῷ
is-found the fault his as righteousness before —
Θεῷ; Βλέπει γὰρ ὁ Θεὸς τὸν κόπον αὐτοῦ, καὶ τὴν θλῖψιν
God sees for — God the toil his and the affliction
ἣν ἔσχεν, ὡς εἶπον, πρὸ τοῦ ἐνεργῆσαι, ἐλεεῖ αὐτόν· καὶ
which he-had as I-said before the to-act he-pities him and
σὺ γινώσκεις αὐτό, καὶ ὁ μὲν ὁ Θεὸς ἐλεεῖ αὐτόν, σὺ δὲ
you know it and the indeed — God pities him you but
κατακρίνεις αὐτόν, καὶ ἀπόλλεις τὴν ψυχήν σου; Πόθεν δὲ
condemn him and destroy the soul your whence and

οἶδας, καὶ πόσα δάκρυα ἐξέχεεν ἐνώπιον τοῦ Θεοῦ περὶ
do-you-know also how-many tears he-shed before — God about
τούτου; καὶ σὺ τὴν μὲν ἁμαρτίαν οἶδας, τὴν δὲ μετάνοιαν
this and you the indeed sin know the but repentance
οὐκ οἶδας. Ἔσθ' ὅτε μόνον ὅτι οὐ κατακρίνομεν, ἀλλὰ
not you-know there-is(-a-time) when only that not we-condemn but
καὶ ἐξουδενοῦμεν. Ἄλλο γάρ ἐστιν, ὡς εἶπον, τὸ κατακρῖναι,
also we-despise other for is as I-said the to-condemn
καὶ ἄλλο ἐξουδενῶσαι· ἡ ἐξουδένωσίς ἐστιν, ὅτι οὐ μόνον
and other to-despise the despising is that not only
κατακρίνει τις, ἀλλὰ καὶ ἐξουδενεῖ· οἱονεὶ βδελύσσεται
condemns someone but also despises as-it-were abhors
τὸν πλησίον, σιχαίνεται αὐτόν, ὡς ἀηδίαν τινά, καὶ ἔστι
the neighbor loathes him as disgust some and is
τοῦτο χεῖρον τοῦ κατακρῖναι, καὶ ὀλεθριώτερον πάνυ.
this worse than-the to-condemn and more-destructive very

6 Οἱ δὲ θέλοντες σωθῆναι, οὐδὲ προσέχουσιν ἐλαττώματι
the(-ones) but wishing to-be-saved not-even attend to-(the)-defect
τοῦ πλησίον, ἀλλὰ τοῖς ἰδίοις πάντοτε, καὶ προσκόπτουσιν.
of-the neighbor but to-the own always and stumble(-at-them)
Οἷος ἦν ἐκεῖνος ὁ ἰδὼν τὸν ἀδελφὸν αὐτοῦ
such was that(-man) the(-one) having-seen the brother his
ἁμαρτάνοντα, καὶ στενάξας, καὶ εἰπών, «Οὐαί μοι, ὅτι
sinning and having-groaned and having-said woe (is)-me that
σήμερον αὐτός, οὕτως κἀγὼ αὔριον.» Βλέπεις ἀσφάλειαν;
today he thus also-I tomorrow you-see (the)-security
Βλέπεις ἑτοιμασίαν ψυχῆς; Πῶς εὗρεν εὐθέως φυγεῖν
you-see (the)-readiness of-soul how he-found(-how) at-once to-escape
τὸ κατακρῖναι τὸν ἀδελφὸν αὐτοῦ; διὰ γὰρ τὸ εἰπεῖν, ὅτι
the to-condemn the brother his through for the to-say that
πάντως κἀγὼ αὔριον, ἔδωκεν ἑαυτῷ φόβον, καὶ μέριμναν
by-all-means also-I tomorrow he-gave himself fear and care

περὶ ὧν ἤμελλε δῆθεν ἁμαρτῆσαι· καὶ οὕτως ἐξέφυγε
about what he-was-going as-it-seemed to-sin and thus he-escaped
τὸ κατακρῖναι τὸν πλησίον. Καὶ οὐκ ἠρκέσθη ἕως τούτου,
the to-condemn the neighbor and not he-was-content up-to this
ἀλλὰ καὶ ἑαυτὸν ἔβαλεν ὑποκάτω αὐτοῦ λέγων· Καὶ οὕτως
but also himself he-put beneath him saying and thus
μὲν μετανοεῖ περὶ τῆς ἁμαρτίας αὐτοῦ, ἐγὼ δὲ οὐ πάντως
indeed he-repents about the sin his I but not surely
μετανοῶ, οὐ πάντως φθάνω, οὐ πάντως ὅ τι ἰσχύω
repent not surely I-come-first not surely that which I-am-able
μετανοῆσαι. Βλέπεις θείας ψυχῆς φωτισμόν, ὅτι οὐ μόνον
to-repent you-see (the)-divine soul's illumination that not only
ἠδυνήθη ἐκφυγεῖν τὸ κατακρῖναι τὸν πλησίον, ἀλλὰ καὶ
he-could to-escape the to-condemn the neighbor but also
ἑαυτὸν δέδωκεν ὑποκάτω αὐτοῦ; Καὶ ἡμεῖς οἱ ἄθλιοι
himself he-has-put beneath him and we the wretched(-ones)
ἀδιαφόρως κατακρίνομεν, ἀηδιζόμεθα, ἐξουδενοῦμεν· εἴ τι
indiscriminately condemn are-disgusted despise if anything
δήποτε ἐὰν ἴδωμεν, ἢ ἀκούσωμεν, ἢ ὑπονοήσωμεν· τὸ
whatever — we-see or hear or suspect the
δεινότερον ὅτι οὐ μέχρι τῆς ἰδίας βλάβης αὐτῷ ἱστάμεθα,
more-terrible(-thing) that not up-to the own harm (of)-it we-stop
ἀλλὰ ἀπαντῶμεν ἄλλῳ ἀδελφῷ, καὶ εὐθέως λέγωμεν αὐτῷ·
but we-meet another brother and immediately we-say to-him
Τόδε καὶ τόδε ἐγένετο· καὶ βλάπτομεν, κἀκεῖνον βάλλοντες
this and this happened and we-harm also-that(-one) casting
εἰς τὴν καρδίαν αὐτοῦ ἁμαρτίαν. Καὶ οὐ φοβούμεθα
into the heart his sin and not we-fear
τὸν εἰπόντα· Οὐαί, ὁ ποτίζων τὸν πλησίον αὐτοῦ
the(-one) having-said woe the(-one) giving-to-drink the neighbor his
ἀνατροπὴν θολεράν· ἀλλὰ ποιοῦμεν ἔργον δαιμόνων, καὶ
(a)-draft turbid but we-do (the)-work of-demons and

οὐ μέλει ἡμῖν. Τί γὰρ ἄλλο ἔχει ποιῆσαι δαίμων, εἰ μὴ
not it-concerns us what for else has to-do (a)-demon except —
ταράξαι καὶ βλάψαι; καὶ εὑρισκόμεθα συνεργοῦντες τοῖς
to-trouble and to-harm and we-are-found co-working with-the
δαίμοσιν εἰς ἀπώλειαν ἑαυτῶν καὶ τοῦ πλησίον. Ὁ
demons for (the)-perdition of-ourselves and of-the neighbor the(-one)
γὰρ βλάπτων ψυχήν, τοῖς δαίμοσι συνεργεῖ καὶ βοηθεῖ.
for harming (a)-soul with-the demons co-works and helps
Ὥσπερ καὶ ὁ ὠφελῶν, συνεργεῖ τοῖς ἁγίοις ἀγγέλοις.
as also the(-one) benefiting(-it) co-works with-the holy angels

7 Πόθεν δὲ πάσχομεν ταῦτα, εἰ μὴ ἐκ τοῦ μὴ ἔχειν
whence and do-we-suffer these(-things) except — from the not to-have
ἡμᾶς ἀγάπην; εἰ γὰρ εἴχομεν ἀγάπην μετὰ συμπαθείας καὶ
us love if for we-had love with sympathy and
πόνου, ἠμελοῦμεν βλέπειν τὰ ἐλαττώματα τοῦ πλησίον·
pain we-would-neglect to-see the defects of-the neighbor
καθὼς λέγει, Ὅτι ἡ ἀγάπη καλύπτει πλῆθος ἁμαρτιῶν.
as it-says that the love covers (a)-multitude of-sins
Καὶ πάλιν· Ἡ ἀγάπη οὐ λογίζεται τὸ κακόν· πάντα
and again — love not reckons the evil all(-things)
στέγει· καὶ τὰ ἑξῆς. Καὶ ἡμεῖς οὖν, ὡς εἶπον, εἰ
it-bears and the following(-words) and we then as I-said if
εἴχομεν τὴν ἀγάπην, αὐτὴ ἡ ἀγάπη ἐσκέπασεν ἕκαστον
we-had the love the-very the love would-have-covered each
πρᾶγμα· ὥσπερ καὶ οἱ ἅγιοι βλέποντες τὰ ἐλαττώματα
thing as also the saints seeing the defects
τῶν ἀνθρώπων. Μὴ γὰρ τυφλοί εἰσιν οἱ ἅγιοι, ἀλλ'
of-the men surely-not for blind are the saints but
οὐ βλέπουσι τὰ ἁμαρτήματα; Τίς δὲ καὶ μισεῖ οὕτως
not they-see the sins who and also hates so
τὴν ἁμαρτίαν, ὡς ἅγιοι; Καὶ ὅμως οὐ μισοῦσι τὸν
the sin as (the)-saints and nevertheless not they-hate the

ἁμαρτάνοντα, οὐδὲ κατακρίνουσιν, οὐκ ἀποστρέφονται,
sinner nor condemn(-him) not turn-away
ἀλλὰ συμπάσχουσι, νουθετοῦσι, παρακαλοῦσι, θεραπεύουσιν,
but they-suffer-with admonish exhort heal(-him)
ὡς μέλος ἀσθενοῦν· πάντα ποιοῦσι, διὰ τὸ σῶσαι αὐτόν.
as (a)-limb being-sick all(-things) they-do for the to-save him
Ὥσπερ οἱ ἁλιεῖς ὅτε βάλλουσιν ἄγκιστρον εἰς τὴν
as the fishermen when they-cast (a)-hook into the
θάλασσαν, καὶ κρατήσουσι μέγαν ἰχθὺν καὶ αἴσθωνται, ὅτι
sea and catch (a)-great fish and perceive that
ταράσσεται καὶ ἀτακτεῖ, οὐκ εὐθέως καὶ ἐπαχθῶς ἕλκουσιν
it-is-agitated and thrashes not at-once and heavily they-drag
αὐτόν, ἐπεὶ κόπτεται τὸ ῥάμμα καὶ τελείως ἀπόλλυται.
him since is-cut the line and wholly he-is-lost
Ἀλλὰ ἐνδιδοῦσιν αὐτῷ εὐφυῶς τὸ ῥάμμα, καὶ ἀφιᾶσιν αὐτόν,
but they-give to-him skillfully the line and let him
φησίν, ἀπελθεῖν ὅπου θέλει· καὶ ὅτε μάθωσιν ὅτι ἠπόνησε,
he-says to-go-off where he-wishes and when they-learn that he-is-exhausted
καὶ ἡσύχασεν ἀπὸ τῆς ὁρμῆς αὐτοῦ, τότε ἄρχονται πάλιν
and has-quieted from the rush his then they-begin again
κατὰ μικρὸν σύρειν αὐτόν. Οὕτως καὶ οἱ ἅγιοι τῇ
by little to-draw him thus also the saints with-the
μακροθυμίᾳ καὶ τῇ ἀγάπῃ ἕλκουσι τὸν ἀδελφόν, καὶ οὐκ
long-suffering and with-the love draw the brother and not
ἀπολακτιοῦσιν ἀπ᾽ αὐτοῦ, οὐδὲ ἀηδίζονται αὐτόν· ἀλλ᾽
they-kick-away from him nor are-they-disgusted(-with) him but
ὥσπερ ἡ μήτηρ ἐὰν ἔχῃ υἱὸν ἄμορφον, οὐκ ἀηδίζεται
as the mother if she-have (a)-son misshapen not she-is-disgusted(-with)
αὐτοῦ, οὐδὲ ἀποστρέφεται, ἀλλὰ καὶ ἡδέως κοσμεῖ αὐτόν,
him nor turns-away but even gladly adorns him
καὶ εἴ τι δήποτε ποιεῖ διὰ τὸ χαριτῶσαι αὐτόν·
and if anything ever he-does in-order-to the to-make-graceful him

οὕτως ἀεὶ σκέπουσι, κοσμοῦσιν, ἀντιλαμβάνονται, ἵνα καὶ
thus always they-cover adorn support that also
τὸν πταίοντα κατὰ καιρὸν διορθώσωνται, καὶ μήτε ἄλλον
the(-one) stumbling in time they-may-correct and nor (an)-other
ἐάσωσι βλαβῆναι ἐξ αὐτοῦ, καὶ ἵνα καὶ αὐτοὶ μειζόνως
allow to-be-harmed by him and that also they more-greatly
προκόψωσιν εἰς τὴν ἀγάπην τοῦ Χριστοῦ. Τί ἐποίησεν ὁ
may-advance in the love — of-Christ what did the
ἅγιος Ἀμμωνᾶς, ὅτε ἦλθον οἱ ἀδελφοὶ ἐκεῖνοι ταρασσόμενοι,
holy Ammonas when came the brothers those agitated
καὶ λέγουσιν αὐτῷ· «Ἐλθέ, βλέπε τε, ἀββᾶ, ὅτι γυνή ἐστιν
and say to-him come see and abba that (a)-woman is
εἰς τὸ κελλίον τοῦδε τοῦ ἀδελφοῦ;» Πόσην εὐσπλαγχνίαν
in the cell of-this — brother how-much compassion
ἐδείξατο; Πόσην ἀγάπην ἔσχεν ἡ ἁγία ψυχὴ ἐκείνη. Γνοὺς
he-showed how-much love had the holy soul that having-known
γὰρ ὅτι ἔκρυψεν ὁ ἀδελφὸς τὴν γυναῖκα ὑποκάτω τοῦ
for that had-hidden the brother the woman beneath the
πιθαρίου, ἀπελθών, ἐκάθισεν ἐπάνω αὐτοῦ, καὶ εἶπεν αὐτοῖς
jar having-gone he-sat on-top it and told them
ζητῆσαι εἰς ὅλον τὸ κελλίον· καὶ ὡς οὐχ εὗρον, λέγει
to-search in whole the cell and when not they-found(-her) he-says
αὐτοῖς· «Ὁ Θεὸς συγχωρήσει ὑμῖν·» καί, φησίν, ᾐσχυνεν
to-them — God will-forgive you and he-says he-shamed
αὐτούς, καὶ ἐβόησε καὶ αὐτοῖς ἵνα μὴ πιστεύσωσιν εὐχερῶς
them and he-cried(-out) also to-them that not they-believe easily
κατὰ τοῦ πλησίον. Κἀκεῖνον δὲ ἐσωφρόνισεν, μὴ μόνον
against the neighbor and-that(-man) too he-chastened not only
σκεπάσας μετὰ Θεόν, ἀλλὰ καὶ διορθωσάμενος αὐτόν,
having-covered(-him) after God but also having-corrected him
ὡς εὗρε τὸν καιρὸν ἐπιτήδειον. Ὡς γὰρ μόνου ἐκράτησε
when he-found the time fitting when for alone he-took

τὴν χεῖρα αὐτοῦ μεθ᾽ ὃ ἐξέβαλε πάντας, καὶ εἶπεν
the hand his after which he-had-put-out all and said
αὐτῷ, ὅτι «Φρόντισον ἑαυτοῦ, ἀδελφέ,» εὐθέως ἐδυσωπήθη
to-him that take-thought-for yourself brother at-once was-abashed
καὶ κατενύγη ὁ ἀδελφός, εὐθέως ἐνήργησεν εἰς τὴν ψυχὴν
and was-pricked the brother at-once worked in the soul
αὐτοῦ ἡ φιλανθρωπία καὶ ἡ συμπάθεια τοῦ γέροντος.
his the kindness and the sympathy of-the elder
Καὶ ἡμεῖς οὖν κτησώμεθα ἀγάπην, κτησώμεθα εὐσπλαγχνίαν 8
and we then let-us-acquire love let-us-acquire compassion
εἰς τὸν πλησίον, ἵνα φυλαχθῶμεν ἀπὸ τῆς δεινῆς
toward the neighbor that we-may-be-guarded from the terrible
καταλαλιᾶς, καὶ τοῦ κατακρῖναι, ἢ ἐξουδενῶσαί τινα.
slander and of-the to-condemn or to-despise anyone
Βοηθήσωμεν ἀλλήλοις, ὡς ἰδίοις μέλεσι. Τίς ἔχων τραῦμα
let-us-help one-another as own limbs who having (a)-wound
εἰς τὴν χεῖρα αὐτοῦ, ἢ εἰς τὸν πόδα, ἢ εἰς ἓν τῶν λοιπῶν
on the hand his or on the foot or on one of-the other
μελῶν αὐτοῦ, ἀηδίζεται ἑαυτόν, ἢ κόπτει τὸ ἴδιον μέλος,
limbs his is-disgusted(-with) himself or cuts-off the own limb
κἂν ποιήσῃ σῆψιν, καὶ οὐ μᾶλλον καθαρίζει, ἀποπλύνει,
even-if it-make (a)-festering and not rather cleanses washes-off
βάλλει ἐμπλάστρους, κατασφραγίζει, παρέχει ἁγίασμα,
puts-on plasters seals(-it) provides holy-water
εὔχεται, παρακαλεῖ τοὺς ἁγίους εὔξασθαι ὑπὲρ αὐτοῦ, ὥσπερ
prays beseeches the saints to-pray for him as
ἔλεγε καὶ ὁ ἀββᾶς Ζωσιμᾶς, καὶ ἁπλῶς οὐ παραχωρεῖ,
said also the abba Zosimas and simply not does-he-let-go
οὐκ ἀποστρέφεται τὸ ἴδιον μέλος, οὐδὲ τὴν δυσωδίαν αὐτοῦ,
not turn-away-from the own limb nor the stench its
ἀλλὰ πάντα ποιεῖ ἵνα ὑγιάνῃ; οὕτως ὀφείλομεν καὶ ἡμεῖς
but all(-things) he-does that it-be-healed thus ought also we

συμπάσχειν ἀλλήλοις, ἀντιλαμβάνεσθαι δι᾽ ἑαυτῶν, δι᾽
to-suffer-with one-another to-support through ourselves through
ἄλλων δυνατωτέρων, καὶ πάντα ἐπινοεῖν, καὶ ποιεῖν εἰς τὸ
others more-able and all(-things) to-devise and to-do for the
βοηθῆσαι καὶ ἑαυτοῖς καὶ ἄλλοις. Μέλη γάρ ἐσμεν ἀλλήλων,
to-help both ourselves and others limbs for we-are of-one-another
ὡς λέγει ὁ Ἀπόστολος· Εἰ γὰρ πάντες ἓν σῶμά ἐσμεν, ὁ δὲ
as says the Apostle if for all one body we-are the and
καθεὶς ἀλλήλων μέλη, καὶ εἴτε πάσχει ἓν μέλος, συμπάσχει
each of-one-another limbs and whether suffers one limb suffer-with
πάντα τὰ μέλη. Τί δοκοῦσιν ἡμῖν εἶναι τὰ κοινόβια; Οὐ
all the limbs what seem to-us to-be the communities not
δοκοῦσιν ἡμῖν εἶναι ἓν σῶμα καὶ μέλη ἀλλήλων; Οἱ μὲν
do-they-seem to-us to-be one body and limbs of-one-another the(-ones) indeed
διηκονιῶντες, εἰσὶν ἡ κεφαλή· οἱ δὲ προσέχοντες καὶ
governing are the head the(-ones) and attending and
διορθούμενοι, εἰσὶν ὀφθαλμοί· οἱ διὰ λόγου ὠφελοῦντες,
correcting are eyes the(-ones) through word benefiting
εἰσὶ τὸ στόμα· τὰ δὲ ὦτά εἰσιν, οἱ ὑπακούοντες·
are the mouth the and ears are the(-ones) obeying
αἱ χεῖρές εἰσιν οἱ ἐργαζόμενοι, οἱ πόδες εἰσὶν οἱ
the hands are the(-ones) working the feet are the
ἀποκρισιάριοι καὶ οἱ ἔχοντες τὰς διακονίας. Κεφαλὴ
messengers and the(-ones) having the services (a)-head
εἶ; διοίκησον. Ὀφθαλμὸς εἶ; πρόσχες, κατανόησον.
are-you govern (an)-eye are-you attend consider
Στόμα εἶ; λάλησον, ὠφέλησον. Οὖς εἶ; ὑπάκουσον.
(a)-mouth are-you speak benefit (an)-ear are-you obey
Χεὶρ εἶ; ἔργασαι. Ποῦς εἶ; διακόνησον. Ἕκαστος
(a)-hand are-you work (a)-foot are-you serve each
ὑπουργήσει εἰς τὸ σῶμα πρὸς τὴν δύναμιν αὐτοῦ, καὶ
will-minister to the body according-to the power his and

σπουδάσατε ἀεὶ βοηθεῖν ἀλλήλοις· εἴτε διὰ τοῦ διδάξαι
be-eager always to-help one-another whether through the to-teach
καὶ δοῦναι λόγον Θεοῦ εἰς τὴν καρδίαν τοῦ ἀδελφοῦ, εἴτε
and to-give (a)-word of-God into the heart of-the brother or
διὰ τοῦ παρακαλέσαι ἐν καιρῷ θλίψεως, ἢ δοῦναι χεῖρα
through the to-exhort in (a)-time of-affliction or to-give (a)-hand
εἰς ἔργον καὶ βοηθῆσαι. Ἕκαστος ἁπλῶς, ὡς εἶπον, πρὸς
to work and to-help each simply as I-said according-to
τὴν δύναμιν αὐτοῦ, σπουδάσατε ἑνωθῆναι ἀλλήλοις· ὅσος
the power his be-eager to-be-united to-one-another as-much
γὰρ ἑνοῦταί τι τῷ πλησίον, τοσοῦτον ἑνοῦται τῷ Θεῷ.
for is-united someone to-the neighbor so-much he-is-united — to-God
Καὶ λέγω ὑμῖν ὑπόδειγμα ἐκ τῶν Πατρῶν, ἵνα νοήσητε 9
and I-tell you (an)-example from the Fathers that you-may-understand
τὴν δύναμιν τοῦ λόγου. Ὑπόθεσθέ μοι κύκλον εἶναι ἐν
the power of-the word suppose for-me (a)-circle to-be on
τῇ γῇ· οἷον, χάραγμά τι στρογγύλον ἀπὸ διαβήτου
the ground like mark some round from (a)-compass
κέντρου. Κέντρον λέγεται αὐτῷ ἰδικῶς τὸ μεσώτατον
of-(a)-center center is-called for-it properly the very-middle
τοῦ κύκλου ἕως τοῦ κέντρου. Θέτε τὸν νοῦν ὑμῶν εἰς
of-the circle as-far-as the center set the mind your on
τὸ λεγόμενον. Τοῦτον τὸν κύκλον νομίσατέ μοι εἶναι
the(-thing) being-said this the circle suppose for-me to-be
τὸν κόσμον, αὐτὸ δὲ τὸ μέσον τοῦ κύκλου τὸν Θεόν, τὰς
the world it but the middle of-the circle — God the
δὲ εὐθείας τὰς ἀπὸ τοῦ κύκλου ἐπὶ τὸ μέσον τὰς
and straight(-lines) the(-ones) from the circle to the middle the
ὁδούς, ἤτοι τὰς πολιτείας τῶν ἀνθρώπων. Ἐφ' ὅσον οὖν
ways or the lives of-the men upon as-much-as then
εἰσέρχονται οἱ ἅγιοι ἐπὶ τὰ ἔσω ἐπιποθοῦντες ἐγγίσαι
enter the saints toward the inner(-parts) longing to-draw-near

τῷ Θεῷ κατὰ ἀναλογίαν τῆς εἰσόδου, πλησίον γίνονται
— to-God according-to (the)-proportion of-the entry near they-become
τοῦ Θεοῦ καὶ ἀλλήλων· καὶ ὅσον πλησιάζουσι τῷ Θεῷ,
— to-God and to-one-another and as-much-as they-draw-near — to-God
πλησιάζουσιν ἀλλήλοις, καὶ ὅσον πλησιάζουσιν ἀλλήλοις,
they-draw-near to-one-another and as-much-as they-draw-near to-one-another
πλησιάζουσι τῷ Θεῷ. Ὁμοίως νοήσατε καὶ χωρισμόν. Ὅταν
they-draw-near — to-God likewise understand also separation when
γὰρ ἀφιστῶσιν αὐτοὺς ἀπὸ τοῦ Θεοῦ καὶ ἀποστρέφωσιν
for they-withdraw themselves from — God and turn
ἐπὶ τὰ ἔξω, δῆλόν ἐστιν ὅτι ὅσον ἐξέρχονται καὶ
toward the outer(-parts) clear it-is that as-much-as they-go-out and
μακρύνουσιν ἑαυτοὺς ἀπὸ τοῦ Θεοῦ, τοσοῦτον μακρύνονται
remove themselves from — God so-much they-are-removed
ἀπ᾽ ἀλλήλων, καὶ ὅσον μακρύνονται ἀπ᾽ ἀλλήλων,
from one-another and as-much-as they-are-removed from one-another
τοσοῦτον μακρύνονται ἀπὸ τοῦ Θεοῦ. Ἰδοὺ τοιαύτη ἐστὶν
so-much they-are-removed from — God behold such is
ἡ φύσις τῆς ἀγάπης. Ἐφ᾽ ὅσον μέν ἐσμεν ἔξω καὶ
the nature of-the love upon as-much-as indeed we-are outside and
οὐκ ἀγαπῶμεν τὸν Θεόν, ἐπὶ τοσοῦτον ἔχομεν διάστασιν
not we-love — God upon so-much we-have distance
ἕκαστος πρὸς τὸν πλησίον· ἐὰν δὲ ἀγαπήσωμεν τὸν Θεόν,
each toward the neighbor if but we-love — God
ὅσον ἐγγίζωμεν τῷ Θεῷ διὰ τῆς εἰς αὐτὸν ἀγάπης,
as-much-as we-draw-near — to-God through the toward him love
τοσοῦτον ἑνούμεθα τῇ ἀγάπῃ τῇ τοῦ πλησίον, καὶ
so-much are-we-united with-the love the(-love) of-the neighbor and
ὅσον ἑνούμεθα τῷ πλησίον, τοσοῦτον ἑνούμεθα τῷ
as-much-as we-are-united to-the neighbor so-much are-we-united —
Θεῷ. Ὁ Θεὸς ἀξιώσει ἡμᾶς ἀκούειν τὰ συμφέροντα
to-God — God will-deem-worthy us to-hear the(-things) profiting

ἡμῖν, καὶ ποιεῖν αὐτά. Ὅσῳ γὰρ ἂν φροντίσωμεν καὶ
us and to-do them as-much for — we-take-thought and
σπουδάσωμεν ἐνεργεῖν ἃ ἀκούομεν, τοσοῦτον καὶ ὁ Θεὸς
are-eager to-work what we-hear so-much also — God
ἀεὶ φωτίζει ἡμᾶς καὶ διδάσκει τὸ θέλημα αὐτοῦ.
always enlightens us and teaches(-us) the will his

Περὶ τοῦ ἑαυτοὺς μέμφεσθαι

VII · ON BLAMING ONESELF

The cause of every trouble is that we do not blame ourselves. Dorotheos tells of a sick elder who ate, without a word, food dressed with linseed oil in place of honey, and of David bearing Shimei's curse as from the Lord.

Ζητήσωμεν, ἀδελφοί, πόθεν ποτὲ μὲν ἀκούει τις 1
let-us-seek brothers whence at-one-time indeed bears someone
ῥῆμα θλιβερόν, καὶ παρέρχεται αὐτὸ ἀταράχως, ὡς μηδὲ
(a)-word grievous and he-passes-over it untroubled as not-even
ἀκούσας σχεδόν· ποτὲ δὲ ἀκούει, καὶ εὐθέως
having-heard(-it) almost at-another-time but he-hears(-it) and at-once
ταράσσεται. Τίς ἐστιν ἡ αἰτία τῆς τοιαύτης διαφορᾶς;
is-troubled what is the cause of-the such difference
Ἆρα δὲ καὶ μίαν ἔχει διαφορὰν τῆς τοιαύτης αἰτίας τὸ
is-it and also one has difference of-the such cause the
πρᾶγμα, ἢ καὶ πολλάς; Ἐγὼ βλέπω ὅτι πολλὰς μὲν
thing or also many I see that many indeed
ἔχει αἰτίας· μία δέ ἐστιν ἡ γεννῶσα, ὡς ἂν εἴποι
it-has causes one but is the(-one) begetting as — would-say
τις, ὅλας τὰς πολλὰς αἰτίας· καὶ λέγω πῶς· Πρῶτον
someone all the many causes and I-tell how first

μὲν συμβαίνει τινὰ εὑρεθῆναι ἀπὸ εὐχῆς, ἢ ἀπὸ
indeed it-happens (for)-someone to-be-found from prayer or from
καλοῦ καθίσματος, καὶ εὑρίσκεται, ὡς ἂν εἴπῃ τις, ἐν
(a)-good sitting and he-is-found as — would-say someone in
καλῇ καταστάσει, καὶ βαστάζει τὸν ἀδελφὸν αὐτοῦ, καὶ
(a)-good state and he-bears the brother his and
παρέρχεται ἀταράχως. Πάλιν δὲ συμβαίνει ὅτι εὑρίσκεταί
passes-over untroubled again and it-happens that is-found
τις ἔχων προσπάθειαν πρός τινα, διὰ τοῦτο ἀθλίπτως
someone having (an)-attachment to someone because-of this unafflicted
βαστάζει παρ᾽ αὐτοῦ ἐπιφερόμενα αὐτῷ. Ἔστι πάλιν
he-bears from him (the-things)-brought-on him there-is again
ὅτε καταφρονεῖ τις θέλοντα αὐτὸν βλάψαι, καὶ ὡς
when despises someone (the-one)-wishing him to-harm and as
εὐτελίζων τὰ παρ᾽ αὐτοῦ, καὶ μηδὲ προσέχων αὐτῷ,
making-cheap the(-things) from him and not-even attending to-him
ὡς ἀνθρώπῳ, μηδὲ ποιούμενος αὐτοῦ λόγον ἐπὶ τοῖς
as (a)-man nor making of-him account at the(-things)
παρ᾽ αὐτοῦ λεγομένοις. Καὶ λέγω ὑμῖν τι τοιοῦτον, ἵνα
by him said and I-tell you something such that
θαυμάσητε· Ἦν τις ἀδελφὸς ἐν τῷ κοινοβίῳ πρὸ
you-may-marvel there-was (a)-certain brother in the community before
τοῦ με ἀναχωρῆσαι ἐκεῖθεν, καὶ ἔβλεπον αὐτὸν μηδέποτε
of-the me to-withdraw from-there and I-saw him never
ταρασσόμενον, ἢ θλιβόμενον πρός τινα· καίτοιγε διαφόρως
troubled or afflicted toward anyone although variously
εἶδον πολλοὺς τῶν ἀδελφῶν ὑβρίζοντας καὶ σιχαίνοντας
I-saw many of-the brothers insulting and loathing
αὐτόν· οὕτως δὲ ἔφερεν ὁ νεώτερος ἐκεῖνος τὰ
him thus but bore the young(-man) that the(-things)
παρ᾽ ἑκάστου αὐτῶν, ὡς μηδενὸς παντελῶς ὀχλοῦντος
from each of-them as nothing altogether troubling

αὐτῷ. Ἐγὼ οὖν ἐθαύμαζον ἀεὶ τὴν ὑπερβολὴν τῆς
him I then marveled(-at) always the excess of-the
ἀνεξικακίας αὐτοῦ, καὶ ἐπεθύμουν μαθεῖν πόθεν ἐκτήσατο
forbearance his and desired to-learn whence he-acquired
τὴν ἀρετὴν ταύτην· καὶ λαμβάνω αὐτὸν ἅπαξ παριδίως,
the virtue this and I-take him once privately
καὶ βάλλω αὐτῷ μετάνοιαν, παρακαλῶν εἰπεῖν μοι ποῖον
and I-make to-him (a)-prostration beseeching(-him) to-tell me what
ἀεὶ λογισμὸν ἔχει ἐν τῇ καρδίᾳ αὐτοῦ, εἴτε ὑβριζόμενος,
always thought he-has in the heart his whether being-insulted
εἴτε οἱονδήποτε ἐπαχθῶς πάσχων ὑπό τινος, ὅτι τοιαύτην
or in-whatever-way grievously suffering from anyone that such
ἐνδείκνυται μακροθυμίαν. Ὁ δὲ ἀποκρίνεται φύσει μετὰ
he-shows patience he and answers naturally with
ἀπονοίας, καὶ λέγει μοι· «Ἀλλ' ἐγὼ ἔχω προσέχειν τοῖς
arrogance and says to-me but I have to-attend to-the
ἀτελέσμασι τούτοις, ἢ δέξασθαι τὰ παρ' αὐτῶν, ὡς
abortions these or to-receive the(-things) from them as
παρ' ἀνθρώπων ὡραῖοι κύνες.» Ἀκούσας ἐγὼ τοῦτο, ἔβαλον
from men pretty dogs having-heard I this I-put
κάτω τὰ ὦτά μου, καὶ λέγω ἐν ἐμαυτῷ· «Εὗρε τὴν
down the ears my and I-say in myself he-has-found the
ὁδὸν ὁ ἀδελφὸς οὗτος,» καὶ σφραγίσας ἐμαυτὸν ἀπῆλθον
way the brother this and having-sealed myself I-went-off
εὐχόμενος, ἵνα καὶ ἐμὲ καὶ αὐτὸν ὁ Θεὸς σκεπάσει.
praying that both me and him — God would-cover
Ὥστε συμβαίνει, ὡς εἶπον, καὶ ἀπὸ καταφρονήσεως μὴ 2
so it-happens as I-said also from contempt not
ταραχθῆναί τινα. Τοῦτο δὲ προφανής ἐστιν ἀπώλεια. Τὸ δὲ
to-be-troubled someone this but manifest is perdition the and
ταραχθῆναί τινα πρὸς ἀδελφὸν θλίβοντα αὐτόν, συμβαίνει
to-be-troubled someone toward (a)-brother afflicting him happens

ἢ ἐκ τοῦ μὴ εὑρεθῆναι κατ᾽ ἐκείνην τὴν ὥραν ἐν καλῇ
either from of-the not to-be-found at that the hour in (a)-good
καταστάσει, ἢ ἐκ τοῦ ἔχειν ἀηδίαν τινὰ πρὸς αὐτόν. Εἰσὶ
state or from the to-have disgust some toward him there-are
δὲ καὶ ἄλλα πολλὰ αἴτια τούτου, ἅπερ διαφόρως εἴρηται.
and also other many causes of-this which variously have-been-said
Τὸ δὲ αἴτιον πάσης ταραχῆς ἐστιν, ἐὰν μετὰ ἀκριβείας
the but cause of-all trouble is if with exactness
ζητήσωμεν, τὸ μὴ μέμφεσθαι ἑαυτούς· ἐκεῖθεν ἔχομεν
we-seek the not to-blame ourselves from-there we-have
ὅλην τὴν συντριβὴν ταύτην, ἐκεῖθεν οὐδέποτε εὑρίσκομεν
all the crushing this from-there never do-we-find
ἀνάπαυσιν. Οὐκ ἔστι γὰρ θαυμάσαι ὅτι ἀκούομεν παρὰ
rest not it-is for to-marvel that we-hear from
πάντων τῶν ἁγίων, μὴ εἶναι ἄλλην ὁδὸν πλὴν ταύτης·
all the saints not to-be another way but this
καὶ βλέπομεν ὅτι οὐδεὶς ὥδευσέ ποτε ἄλλην ὁδόν, καὶ
and we-see that no-one walked ever another way and
εὗρεν ἀνάπαυσιν· καὶ προσδοκῶμεν ἡμεῖς ἀναπαύεσθαι, ἢ
found rest and expect we to-rest or
ὅλως ὁδὸν εὐθεῖαν κρατεῖν, μηδέποτε ἀνεχόμενοι ἑαυτοὺς
at-all (a)-way straight to-hold never bearing ourselves
μέμφεσθαι. Ὄντως. Ἐὰν ποιήσῃ ἄνθρωπος μυρίας
to-blame truly if do (a)-man ten-thousand
πολιτείας, μὴ κρατήσῃ δὲ τὴν ὁδὸν ταύτην, οὐ μὴ
ways-of-life not he-hold but the way this not —
παύσηταί ποτε θλίβων καὶ θλιβόμενος, καὶ ἀπόλλων ὅλους
he-will-cease ever afflicting and being-afflicted and losing all
τοὺς κόπους αὐτοῦ. Ποίαν δὲ χαράν, ποίαν ἀνάπαυσιν
the labors his what and joy what rest
οὐκ ἔχει ὁ τοιοῦτος, ὅπου δ᾽ ἂν ἀπέλθῃ, ὥσπερ εἶπε καὶ
not has the such(-man) wherever and — he-go as said also

ὁ ἀββᾶς ποιμήν, ὁ ἑαυτὸν μεμφόμενος; Εἴ τι γὰρ
the abba Poemen the(-one) himself blaming if anything for
συμβῇ αὐτῷ εἴτε ζημία, εἴτε ἀτιμία, εἴτε οἱαδήποτε θλῖψις,
befall him whether loss or dishonor or whatever affliction
προλαβὼν ἔχει ἑαυτὸν ἄξιον, καὶ οὐδέποτε ταράσσεται.
anticipating holds himself worthy and never is-troubled
Ἔστι τούτου τί ποτε ἀμεριμνότερον.
is-there than-this anything at-all more-free-from-care
Ἀλλὰ λέγει τις· Καὶ ἐὰν θλίβῃ με ὁ ἀδελφός, καὶ 3
but says someone and if afflict me the brother and
ἐρευνήσω ἐμαυτόν, καὶ εὕρω ὅτι οὐκ ἔδωκα αὐτῷ
I-examine myself and find that not I-gave him
οἱανδήποτε πρόφασιν, πῶς δύναμαι μέμψασθαι ἐμαυτόν;
any pretext how can-I to-blame myself
Ὄντως ἐὰν ἐρευνήσῃ τις ἑαυτὸν μετὰ φόβου Θεοῦ,
truly if examine someone himself with fear of-God
εὑρίσκει ὅτι πάντως ἔδωκεν αἰτίαν, εἴτε ἔργῳ, εἴτε λόγῳ,
he-finds that surely he-gave (a)-cause whether by-deed or by-word
εἴτε σχήματι. Εἰ δὲ καὶ βλέπει ἑαυτόν, ὡς λέγει, ὅτι ἐν
or by-bearing if and also he-sees himself as he-says that in
οὐδενὶ τούτων ἔδωκεν ὅλως αἰτίαν πρὸς τὸ παρόν, εἰκὸς
none of-these he-gave at-all cause for the present likely
ἄλλοτε ἔθλιβεν αὐτόν, ἢ εἰς αὐτὸ τὸ πρᾶγμα, ἢ εἰς
at-another-time he-afflicted him either in the-very the matter or in
ἄλλο, εἰκὸς ἄλλον ἀδελφὸν ἔθλιψεν, καὶ ἐχρεώστει
another(-matter) likely another brother he-afflicted and he-owed
διὰ τοῦτο παθεῖν, ἢ πολλάκις καὶ δι' ἄλλην ἁμαρτίαν·
because-of this to-suffer or often also through another sin
ὥστε ἐάν, ὡς εἶπον, μετὰ φόβου Θεοῦ ἐρευνήσει τις
so-that if as I-said with fear of-God examine someone
ἑαυτὸν καὶ ψηλαφήσει τὴν ἰδίαν συνείδησιν ἀκριβῶς,
himself and feel-out the own conscience exactly

εὑρίσκει ἑαυτὸν πάντως αἴτιον. Πάλιν ἔστιν ὅτε βλέπει
he-finds himself surely cause(-of-it) again there-is when sees
τις ἑαυτόν, ὡς μετὰ εἰρήνης καὶ ἡσυχίας καθεζόμενον,
someone himself as with peace and stillness sitting
καὶ ὅτε εἴπῃ αὐτῷ ἀδελφὸς τὸ ῥῆμα τὸ λυποῦν αὐτόν,
and when say to-him (a)-brother the word the(-one) grieving him
ταράσσεται, καὶ ὡς ἐκ τούτου νομίζει εὐλόγως θλίβεσθαι,
he-is-troubled and as from this he-thinks reasonably to-be-afflicted
κατ᾽ αὐτοῦ λέγων, ὅτι Εἰ μὴ ἦλθε καὶ ἐλάλησέ μοι, καὶ
against him saying that if not had-come and spoken to-me and
ἐτάραξέ με, οὐκ εἶχον ἁμαρτῆσαι. Καὶ τοῦτο χλεύη ἐστί,
troubled me not I-would to-sin and this mockery is
καὶ τοῦτο παραλογισμός ἐστι. Μὴ γὰρ ὁ εἰπὼν
and this false-reasoning is surely-not for the(-one) having-told
αὐτῷ τὸ ῥῆμα, ἐνέβαλεν αὐτῷ τὸ πάθος, τὸ ἐν αὐτῷ
him the word put-in him the passion the(-passion) in him
ἔδειξεν αὐτῷ, ἵνα ἐὰν θέλει, μετανοήσει ὑπὲρ αὐτοῦ. Οὗτος
he-showed him that if he-wish he-may-repent for it this(-man)
γὰρ ἔοικε σιλιγνίῳ καθαρῷ, ἔξωθεν μὲν ὡραῖον,
for is-like (a)-loaf-of-fine-flour clean outside indeed fair
ἔσωθεν δὲ λαμπούθιόν τι· καὶ ὅταν κλάσει αὐτό
inside but moldy(-thing) something and when break it
τις, τότε φαίνεται ὁ βόρβορος αὐτοῦ. Οὕτως καὶ αὐτὸς
someone then appears the filth its so also he
ἐκάθητο μετ᾽ εἰρήνης, ὡς ἐνόμιζεν, εἶχε δὲ ἔσωθεν αὐτοῦ
sat with peace as he-thought he-had but inside him
τὸ πάθος, καὶ οὐκ ᾔδει. Ἓν ῥῆμα εἶπεν αὐτῷ ὁ ἀδελφὸς
the passion and not he-knew one word said to-him the brother
αὐτοῦ, καὶ ἐξέβαλε τὸν βόρβορον τὸν κεκρυμμένον
his and cast-out the filth the(-filth) hidden
ἔσω. Ἐὰν οὖν θέλῃ ἐλεηθῆναι, μετανοήσῃ, καὶ καθαρίσῃ,
inside if then he-wish to-be-pitied let-him-repent and cleanse(-himself)

προκόψῃ, καὶ βλέπει ὅτι μᾶλλον εὐχαριστῆσαι ὀφείλει τῷ
advance and he-sees that rather to-thank he-ought the
ἀδελφῷ, ὡς αἰτίῳ γινομένῳ αὐτῷ τῆς τοιαύτης ὠφελείας.
brother as cause become for-him of-the such benefit
Οὐκ ἔτι γὰρ ὁμοίως βαροῦσιν αὐτὸν οἱ πειρασμοί· ἀλλ'
no longer for similarly weigh-down him the temptations but
ὅσον προκόπτει, τοσοῦτον εὑρίσκονται αὐτῷ ἐλαφρότεροι.
as-much-as he-advances so-much they-are-found for-him lighter
Ὅσον γὰρ προκόπτει ἡ ψυχή, γίνεται ἰσχυρά, καὶ
as-much-as for advances the soul it-becomes strong and
ἔχουσα δύναμιν βαστάσαι τὰ ἐπερχόμενα. Ὥσπερ ἐάν
having power to-bear the(-things) coming-on as if
ἐστι ζῶον ἰσχυρόν, καὶ φορτίσει τις αὐτὸ γομάριν μετὰ
it-is (a)-beast strong and load someone it (a)-burden with
ἀναπαύσεως βαστάζει· εἰ δὲ καὶ συμβῇ αὐτῷ προσκόψαι,
ease it-bears(-it) if and also it-befall it to-stumble
εὐθέως ἐγείρεται, καὶ σχεδόν, οὐδὲ αἰσθάνονται ὅτι
at-once it-gets-up and almost not-even they-perceive that
προσέκοψεν· ἐὰν δέ ἐστι ζῶον ταλαίπωρον, καὶ τὸ εἴτι
it-stumbled if but it-is (a)-beast wretched and the anything
δήποτε, βαρεῖ αὐτό· εἰ δὲ καὶ πέσῃ, δέεται πολλῆς
whatever weighs-down it if and also it-fall it-needs much
βοηθείας εἰς τὸ ἐγεῖραι αὐτό· οὕτως ἐστὶ καὶ τὸ
help for the to-raise it thus is also the(-case)
τῆς ψυχῆς, ὅσον ἐνεργεῖ τὴν ἁμαρτίαν, ταλαιπωρεῖ
of-the soul as-much-as it-works the sin it-is-wretched
ἐξ αὐτῆς. Εἰ γὰρ ἡ ἁμαρτία ταλαιπωροποιός ἐστι,
from it if for the sin making-wretched is
καὶ σαθροῖ τὸν ἔχοντα αὐτήν, λοιπὸν εἴ τι δήποτε
οὗτος ἐπείθετο ταῖς ἰδίαις ὑπονοίαις, ὡς πληροφορεῖσθαι
this(-man) was-persuaded by-the own suspicions so-that to-be-fully-assured
αὐτὸν περὶ ἑκάστης ὑπονοίας αὐτοῦ, ὅτι οὕτως ἐστὶ
him about each suspicion his that so it-is

πάντως, ὡς ὑπογράφει ὁ λογισμὸς αὐτοῦ, καὶ οὐκ ἐνδέχεται
by-all-means as sketches the thought his and not it-is-possible
ἄλλως· τῷ οὖν χρόνῳ προκόπτοντος τοῦ κακοῦ, οὕτως
otherwise in-the then time advancing the evil so
αὐτὸν ἔπεισαν οἱ δαίμονες πλανᾶσθαι, ὥστε εἰσελθεῖν αὐτὸν
him persuaded the demons to-go-astray that to-enter him
ἅπαξ εἰς τὸν κῆπον κατασκοποῦντα. Καὶ γὰρ παρετηρεῖτο
once into the garden spying and for he-was-watching
καὶ παρηκροᾶτο· καὶ ἔδοξε βλέπειν τινὰ τῶν ἀδελφῶν
and eavesdropping and seemed to-see one of-the brothers
κλέπτοντα σῦκα καὶ τρώγοντα. Ἦν δὲ καὶ Παρασκευή, καὶ
stealing figs and eating(-them) it-was and also Friday and
ἀκμὴν οὐδὲ ὥρα δευτέρα. Ὡς οὖν ἔπεισεν αὐτόν, ὡς
still not-even (the)-hour second when then it-persuaded him as
ὅτι ἰδικῶς μετὰ ἀληθείας εἶδε τὸ πρᾶγμα, κρύπτει ἑαυτόν,
that personally with truth he-saw the thing he-hides himself
φησίν, καὶ ἐξέρχεται σιωπῶν, καὶ παρατηρεῖ πάλιν εἰς
he-says and goes-out in-silence and watches again at
τὴν ὥραν τῆς συνάξεως ἰδεῖν τί ποιεῖ ὁ ἀδελφὸς εἰς τὴν
the hour of-the synaxis to-see what does the brother at the
κοινωνίαν, ὁ δῆθεν κλέψας τὰ σῦκα καὶ φαγών.
communion the(-one) supposedly having-stolen the figs and having-eaten(-them)
Καὶ ὡς εἶδεν αὐτὸν νίπτοντα τὰς χεῖρας, ἵνα εἰσέλθῃ
and when he-saw him washing the hands that he-might-enter
καὶ κοινωνήσῃ, τρέχει καὶ λέγει τῷ ἀββᾷ, ὅτι Ὁ δεῖνα
and communicate he-runs and says to-the abba that the so-and-so
ὁ ἀδελφός, ἴδε ποῦ εἰσέρχεται μεταλαβεῖν τῆς ἁγίας
the brother see where he-goes-in to-partake of-the holy
κοινωνίας μετὰ τῶν ἀδελφῶν· ἀλλὰ κέλευσον μὴ δοθῆναι
communion with the brothers but order not to-be-given
αὐτῷ. Ἐγὼ γὰρ οἶδα αὐτὸν ἀπὸ πρωΐ κλέπτοντα σῦκα
to-him I for know him since early-morning stealing figs

ἐκ τοῦ κήπου καὶ τρώγοντα. Ἐν τοσούτῳ εἰσέρχεται
from the garden and eating(-them) in so-much(-time) enters
ὁ ἀδελφὸς ἐκεῖνος μετὰ πολλῆς κατανύξεως εἰς τὴν
the brother that with much compunction to the
ἁγίαν προσφοράν· ἦν γὰρ καὶ τῶν εὐλαβῶν. Ὡς οὖν
holy offering he-was for also of-the devout when then
εἶδεν αὐτὸν ὁ ἀββᾶς, καλεῖ αὐτὸν πρὶν ἢ πλησιάζει
saw him the abba he-calls him before — he-approaches
τῷ πρεσβυτέρῳ τῷ μεταδιδοῦντι, καὶ λαμβάνει αὐτὸν
the priest the(-one) administering(-it) and takes him
κατ᾽ ἰδίαν, καὶ λέγει αὐτῷ· «Εἰπέ μοι, ἀδελφέ, τί ἐστιν
in private and says to-him tell me brother what is
ὃ ἐποίησας σήμερον;» Ἐκεῖνος ἐξενίσθη, καὶ λέγει
(it)-which you-did today that(-one) was-astonished and says
αὐτῷ, «Ποῦ, δέσποτα;» Λέγει αὐτῷ ὁ ἀββᾶς· «Εἰς τὸν
to-him where master says to-him the abba in the
κῆπον ὅτε εἰσῆλθες τὸ πρωΐ, τί ἐποίεις ἐκεῖ;» Λέγει
garden when you-went-in the morning what were-you-doing there says(-he)
πάλιν, ὡς ἐκπληττόμενος ὁ ἀδελφός· «Δέσποτα, οὔτε τὸν
again as astonished the brother master neither the
κῆπον εἶδον σήμερον, οὔτε ὧδε ἤμην εἰς τὸ κοινόβιον τὸ
garden did-I-see today nor here was-I in the community the
πρωΐ, ἀλλὰ ἄρτι ἴδε ἦλθον ἀπὸ τῆς ὁδοῦ. Εὐθέως γὰρ
morning but just-now see I-came from the road at-once for
μετὰ τὸ ἀπολῦσαι τὴν ἀγρυπνίαν, ἔπεμψέ με ὁ οἰκονόμος
after the to-dismiss the vigil sent me the steward
εἰς τήνδε τὴν ἀπόκρισιν.» Ἦν δὲ ἡ ἀπόκρισις περὶ
to this the errand was and the errand about
ἧς εἶπεν ἀπὸ πολλῶν μιλίων καὶ κατ᾽ αὐτὴν τὴν ὥραν
which he-spoke from many miles and at the-very the hour
τῆς συνάξεως ἦν φθάσας ὁ ἀδελφός. Μεταστέλλεται ὁ
of-the synaxis was having-arrived the brother summons the

ἀββᾶς τὸν οἰκονόμον καὶ λέγει αὐτῷ· «Ποῦ ἔπεμψας τὸν
abba the steward and says to-him where did-you-send the
ἀδελφὸν τοῦτον;» Ἀποκρίνεται ὁ οἰκονόμος ὅπερ εἶπε καὶ
brother this answers the steward what said also
ὁ ἀδελφός, ὅτι «Εἰς τήνδε τὴν κώμην ἔπεμψα αὐτόν,»
the brother that to this the village I-sent him
καὶ βάλλει μετάνοιαν, εἰπών· «Συγχώρησον, κῦρι, ὅτι
and he-makes prostration saying forgive(-me) sir that
ἀνεπαύου ἀπὸ τῆς ἀγρυπνίας, καὶ διὰ τοῦτο οὐκ ἤνεγκα
you-were-resting from the vigil and because-of this not I-brought
αὐτὸν λαβεῖν παρὰ σοῦ ἀπόλυσιν.» Ὡς οὖν ἐπληροφορήθη
him to-take from you leave when then was-fully-assured
ὁ ἀββᾶς, ἀπέλυσεν αὐτοὺς ἀπελθεῖν κοινωνῆσαι. Καὶ καλεῖ
the abba he-dismissed them to-go to-communicate and he-calls
τὸν ἀδελφὸν τὸν τὰς ὑπονοίας ἔχοντα, καὶ ἐπιτιμᾷ αὐτόν,
the brother the(-one) the suspicions having and rebukes him
καὶ ἀφορίζει αὐτὸν ἀπὸ τῆς ἁγίας κοινωνίας· καὶ οὐ μόνον
and excludes him from the holy communion and not only
τοῦτο, ἀλλὰ καὶ καλέσας τοὺς μοναχοὺς πάντας μετὰ τὴν
this but also having-called the monks all after the
σύναξιν, ἐξήγγειλεν αὐτοῖς μετὰ δακρύων τὰ συμβάντα,
synaxis he-declared to-them with tears the(-things) having-happened
καὶ ἐστηλίτευσε τὸν ἀδελφὸν ἐπὶ πάντων· τρία ἐκ
and exposed the brother before all three(-things) by
τούτου πραγματευόμενος, τὸ καταισχυνθῆναι τὸν διάβολον,
this managing the to-be-put-to-shame the devil
καὶ παραδειγματισθῆναι τὸν σπείροντα τὰς ὑπονοίας, καὶ
and to-be-made-an-example the(-one) sowing the suspicions and
τοῦ συγχωρηθῆναι τὴν ἁμαρτίαν τοῦ ἀδελφοῦ διὰ τῆς
of-the to-be-forgiven the sin of-the brother through the
ἀτιμίας ἐκείνης, καὶ λαβεῖν παρὰ τοῦ Θεοῦ βοήθειαν εἰς τὸ
dishonor that and to-receive from — God help for the

ἑξῆς, καὶ τὸ ποιῆσαι τοὺς ἀδελφοὺς ἀσφαλεστέρους
following(-time) and the to-make the brothers safer
πρὸς τὸ μηδέποτε ἀνασχέσθαι ἡμᾶς ταῖς ἰδίαις πείθεσθαι
for the never to-bear us by-the own to-be-persuaded
ὑπονοίαις· καὶ πολλὰ νουθετήσας περὶ τούτου, καὶ ἡμᾶς
suspicions and many(-things) having-admonished about this both us
καὶ τὸν ἀδελφόν, ἔλεγεν οὐδὲν εἶναι βλαβερώτερον τῶν
and the brother he-said nothing to-be more-harmful than-the
ὑπονοιῶν, καὶ ἐδείκνυε διὰ τοῦ συμβάντος ὑποδείγματος.
suspicions and showed(-it) through the having-happened example

3 Καὶ ἄλλα δὲ τοιαῦτα διαφόρως εἶπον οἱ Πάτρες
and other too such(-things) variously said the Fathers
ἀσφαλιζόμενοι ἡμᾶς περὶ τῆς βλάβης τῶν ὑπονοιῶν.
securing us about the harm of-the suspicions
Σπουδάσωμεν οὖν πάσῃ δυνάμει ἡμῶν μηδέποτε πιστεύειν
let-us-be-eager then with-all power our never to-believe
ταῖς ἰδίαις ὑπονοίαις· οὐδὲν οὕτως ἀφιστᾷ ἄνθρωπον
the own suspicions nothing thus removes (a)-man
ἀπὸ τοῦ Θεοῦ, ἀπὸ τοῦ μὴ προσέχειν ταῖς ἰδίαις
from — God as(-from) the not to-attend to-the own
ἁμαρτίαις, καὶ ποιεῖν αὐτὸν πάντοτε περιεργάζεσθαι
sins and to-make him always to-meddle-with
τὰ μὴ ἀνήκοντα αὐτῷ· καὶ ἐκ τούτου οὐδὲν καλόν,
the(-things) not belonging to-him and from this nothing good
καὶ ἐκ τούτου μυρίαι θλίψεις, καὶ ἐκ τούτου οὐδέποτε
and from this ten-thousand afflictions and from this never
σχολάζει ἄνθρωπος κτήσασθαι φόβον Θεοῦ· κἂν σπαρῶσιν
has-leisure (a)-man to-acquire fear of-God even-if be-sown
ἡμῖν ὑπόνοιαι πονηραὶ διὰ τὴν κακίαν ἡμῶν, εὐθέως
in-us suspicions evil because-of the vice our at-once
μεταστρέψωμεν αὐτὰς εἰς καλονοησίαν, καὶ οὐ βλάπτωσιν
let-us-turn them into good-thinking and not they-harm

ἡμᾶς. Κακαὶ γάρ εἰσιν αἱ ὑπόνοιαι, καὶ οὐδέποτε ἀφίουσι
us evil for are the suspicions and never let
τὴν ψυχὴν εἰρηνεῦσαι· ἰδοὺ τοῦτό ἐστι τὸ κατὰ διάνοιαν
the soul to-be-at-peace behold this is the in thought
ψεῦδος. Ὁ δὲ ἐν λόγῳ ψευδόμενός ἐστιν, ὅταν, ὑπόθου,
lie the(-one) but in word lying is when suppose
ὀκνεῖ τις ἀναστῆναι εἰς τὴν ἀγρυπνίαν, καὶ οὐ λέγει·
is-slothful someone to-rise for the vigil and not he-says
«Συγχώρησόν μοι, ὅτι ὤκνησα ἀναστῆναι· ἀλλὰ λέγει,
forgive me that I-was-slothful to-rise but he-says
Ἐπύρεξα, ἐσκοτώθην, οὐκ ἠδυνήθην ἀναστῆναι, ἠτόνουν·»
I-had-fever I-was-dizzy not I-could to-rise I-was-weak
καὶ λέγει δέκα ῥήματα ψευδῆ, ἵνα μὴ βάλῃ μίαν
and he-says ten words false that not he-make one
μετάνοιαν, καὶ ταπεινωθῇ. Ἐὰν δέ τις μέμψηται αὐτὸν
prostration and be-humbled if and someone blame him
ἐν πράγματι, μένει ἀλλάσσων τὰ ῥήματα αὐτοῦ καὶ
in (a)-matter he-remains changing the words his and
φιλοκαλῶν, ἵνα μὴ βαστάσῃ τὴν μέμψιν αὐτοῦ. Ὁμοίως,
making-them-fine that not he-bear the blame his likewise
ἐὰν συμβῇ αὐτὸν ἔχειν λόγον τινὰ πρὸς ἀδελφὸν αὐτοῦ,
if it-happen him to-have word any with (the)-brother his
οὐ παύεται δικαιολογούμενος· καὶ λέγων· Ἀλλὰ σὺ εἶπας,
not he-ceases justifying-himself and saying but you said
ἀλλὰ σὺ ἐποίησας, ἀλλ' ἐγὼ οὐκ εἶπον, ἀλλ' ἐκεῖνος
but you did but I not said but that(-one)
εἶπεν, ἀλλὰ τοῦτο, ἀλλ' ἐκεῖνο, ἵνα μὴ μόνον ταπεινωθῇ.
said but this but that that not only he-be-humbled
Πάλιν ἐὰν ἐπιθυμήσῃ πράγματος, οὐκ ἀνέχεται εἰπεῖν, ὅτι
again if he-desire (a)-thing not he-bears to-say that
Ἐπιθυμῶ τοῦδε, ἀλλὰ μένει στρέφων τοὺς λόγους αὐτοῦ,
I-desire this but he-remains twisting the words his

λέγων· Τόδε πάσχω καὶ τοῦδε χρῄζω, ἢ τῷδε ἐπετάγην,
saying this I-suffer and this I-need or this I-was-ordered
καὶ λέγει πόσα ψεύδη ἕως οὗ πληρώσει τὴν ἐπιθυμίαν
and he-says how-many lies until — he-fulfill the desire
αὐτοῦ. Πᾶσα γὰρ ἁμαρτία, ἢ διὰ φιληδονίαν, ἢ διὰ
his every for sin either because-of love-of-pleasure or because-of
φιλαργυρίαν, ἢ φιλοδοξίαν γίνεται. Ὁμοίως καὶ τὸ ψεῦδος
love-of-money or love-of-glory comes-about likewise also the lie
διὰ τούτων τῶν τριῶν γίνεται, ἢ διὰ τὸ μὴ μεμφθῆναι
through these the three comes-about either for the not to-be-blamed
καὶ ταπεινωθῆναι, ψεύδεταί τις, ἢ διὰ τὸ ἀνύσαι
and to-be-humbled lies someone or for the to-accomplish
θέλημα, ἢ διὰ τὸ κερδάναι· καὶ οὐ παύεται στρέφων ὧδε,
(his)-will or for the to-gain and not he-ceases twisting here
στρέφων ἐκεῖ, πάντα μαγγανεύων τί εἰπεῖν ἕως ἀνύσει
twisting there all(-things) contriving what to-say until he-accomplish
τὸν σκοπὸν αὐτοῦ, ὁ τοιοῦτος οὐδέποτε πιστεύεται· ἀλλὰ
the aim his the such(-man) never is-believed but
καὶ ἀληθὲς ῥῆμα ἐὰν εἴπῃ, οὐδεὶς δύναται πιστεῦσαι
even (a)-true word if he-say no-one can to-believe
αὐτῷ, ἀλλὰ καὶ τὸ ἀληθὲς αὐτοῦ, ἀμφίβολον εὑρίσκεται.
him but even the truth his doubtful is-found
Ἔστι δὲ ὅτε γίνεται ἀνάγκη πράγματος, καὶ ἐὰν μὴ
there-is and when comes-about (a)-necessity of-(a)-thing and unless —
κρύψῃ τις μικρόν, ἔρχεται τὸ πρᾶγμα εἰς πλείονα
hide someone (a)-small(-thing) comes the thing to more
ταραχὴν καὶ θλῖψιν. Ὅτε οὖν τοιαύτη περίστασις γένηται,
trouble and affliction when then such (a)-strait arise
καὶ ἴδῃ τις ἑαυτὸν ἀναγκαζόμενον, διὰ τοῦτο ἀλλάξαι
and see someone himself compelled because-of this to-change
ῥῆμα, ἵνα μὴ γένηται, ὡς εἶπον, πλείων ταραχὴ καὶ
(a)-word that not arise as I-said more trouble and

θλίψις, ἢ κίνδυνος· ὥσπερ εἶπεν ὁ ἀββᾶς Ἀλώνιος τῷ
affliction or danger as said the abba Alonius to-the
ἀββᾷ Ἀγάθωνι· «Ἰδοὺ δύο ἄνθρωποι ἐπὶ σοῦ φόνον
abba Agathon behold two men before you (a)-murder
ἐποίησαν, καὶ ὁ εἷς ἔφυγεν εἰς τὸ κελλίον σου· καὶ ἰδοὺ ὁ
did and the one fled into the cell your and behold the
ἄρχων ζητεῖ αὐτόν· καὶ ἐρωτᾷ σε, λέγων, Ἐπὶ σοῦ φόνος
ruler seeks him and asks you saying before you (a)-murder
γέγονεν; Ἐὰν μὴ οἰκονομήσῃ, παραδίδως τὸν ἄνθρωπον εἰς
has-happened unless — you-dispense you-hand-over the man to
θάνατον·» ὅταν οὖν μεγάλη τις ἀνάγκη συμβῇ, θέλοι ἄν
death when then great some necessity happen would-wish —
τις μηδὲ οὕτως ἀμεριμνῆσαι, ἀλλὰ μετανοεῖν καὶ κλαίειν
someone not-even thus to-be-free-from-care but to-repent and to-weep
ἐνώπιον τοῦ Θεοῦ, καὶ ἔχειν τοιοῦτον, ὡς καιρὸν πειρασμοῦ,
before — God and to-hold such(-a-thing) as (a)-time of-temptation
καὶ οὐδὲ τοῦτο συνεχῶς, ἀλλ᾽ ἅπαξ διὰ πολλῶν.
and not-even this continually but once through many(-times)
Ὥσπερ γὰρ ἐπὶ τῆς θηριακῆς καὶ τοῦ καθαρσίου, ὅτι
as for in-the-case-of the theriac and the purgative that
συνεχῶς λαμβανόμενα βλάπτουσιν, εἰ δὲ λάβῃ τις ἅπαξ
continually taken they-harm if but take someone once
διὰ χρόνου διὰ πολλὴν ἀνάγκην ὠφελοῦσιν αὐτόν, οὕτως
after (a)-time for much necessity they-benefit him thus
ὀφείλει τις χρᾶσθαι τῷ πράγματι τούτῳ, ἵνα κἂν δι᾽
ought someone to-use the thing this that even-if through
ἀνάγκην θελήσῃ ἀλλάξαι, μὴ συνεχῶς· ἀλλ᾽ ἄρα ἔστιν
necessity he-wish to-change(-a-word) not continually but perhaps it-is
ἅπαξ διὰ πολλῶν, ἐὰν ἴδῃ, ὡς εἶπον, πολλὴν ἀνάγκην,
once through many(-times) if he-see as I-said much necessity
καὶ αὐτὸ δὲ τὸ διὰ χρόνου μετὰ φόβου καὶ τρόμου
and it too the(-thing) after (a)-time with fear and trembling

δεικνύων τῷ Θεῷ, καὶ τὴν προαίρεσιν αὐτοῦ, καὶ τὴν
showing — to-God both the choice his and the
ἀνάγκην, καὶ σκεπάζεται· ἐπεὶ καὶ εἰς αὐτὸ βλάπτεται.
necessity and he-is-protected since also in it he-is-harmed
4 Ἰδοὺ εἴπομεν τίς ἐστιν ὁ ψευδόμενος κατὰ διάνοιαν, καὶ
behold we-said who is the(-one) lying in thought and
τίς ἐστιν ὁ ἐν λόγῳ ψευδόμενος· θέλομεν λοιπὸν εἰπεῖν
who is the(-one) in word lying we-wish henceforth to-say
τίς ἐστι καὶ ὁ εἰς αὐτὸν τὸν βίον ἑαυτοῦ ψευδόμενος.
who is also the(-one) in the-very the life his-own lying
Ὁ εἰς τὸν βίον ἑαυτοῦ ψευδόμενός ἐστιν, ὅταν τις
the(-one) in the life his-own lying is when someone
ἄσωτος ὢν προσποιεῖται ἐγκράτειαν, ἢ πλεονέκτης ἐστί,
dissolute being feigns self-control or greedy he-is
καὶ λαλεῖ περὶ ἐλεημοσύνης, καὶ ἐπαινεῖ τὴν συμπάθειαν,
and talks about almsgiving and praises the sympathy
ὑπερήφανός ἐστι, καὶ θαυμάζει τὴν ταπεινοφροσύνην, καὶ
proud he-is and admires the humility and
οὐχ ὡς θέλῃ τὴν ἀρετὴν ἐπαινέσαι, θαυμάζει αὐτήν. Εἰ
not as he-wishes the virtue to-praise does-he-admire it if
γὰρ ἔλεγε τῷ σκοπῷ τούτῳ, πρῶτον μετὰ ταπεινώσεως
for he-spoke with-the aim this first with humility
ὡμολόγει τὴν ἰδίαν ἀσθένειαν, λέγων· «Οἴ μοι τῷ
he-would-confess the own weakness saying woe (is)-me the
ἀθλίῳ ὅτι μεματαίωμαι ἀπὸ παντὸς ἀγαθοῦ!» Καὶ
wretched(-man) that I-have-been-made-vain from every good and
μετὰ τὸ ὁμολογῆσαι τὴν ἰδίαν ἀσθένειαν, οὕτως εἶχε
after the to-confess the own weakness thus he-could
θαυμάσαι, καὶ ἐπαινέσαι τὴν ἀρετήν. Ἀλλ᾽ οὐδὲ σκοπὸν
to-admire and to-praise the virtue but not-even (the)-aim
ἔχων τοῦ μὴ σκανδαλίσαι τινά, ἐγκωμιάζει τὴν ἀρετήν.
having of-the not to-scandalize anyone does-he-extol the virtue

Ὀφείλει γὰρ καὶ οὕτως λογίζεσθαι· ὅτι Ναὶ ἐγὼ ἄθλιός
he-ought for also thus to-reckon that yes I wretched
εἰμι καὶ ἐμπαθής, διὰ τί ἵνα καὶ ἄλλον σκανδαλίσω; διὰ
am and passionate for what that also another I-scandalize for
τί ἵνα βλάψω καὶ ἄλλην ψυχήν, καὶ ἐνέγκω ἐμαυτῷ καὶ
what that I-harm also another soul and I-bring on-myself also
ἄλλου βάρος, καὶ εἶχεν εἰ καὶ εἰς αὐτὸν ἡμάρτανεν, ἀλλ'
another's burden and he-could if even against himself he-sinned but
οὖν ἅψασθαι τοῦ καλοῦ; Ταπεινώσεως γάρ ἐστι τὸ ἑαυτὸν
yet to-touch the good of-humility for it-is the oneself
ταλανίζειν, καὶ συμπαθείας, τὸ φείδεσθαι τοῦ πλησίου. Ἀλλ'
to-call-wretched and of-sympathy the to-spare the neighbor but
ὁ τοιοῦτος, οὐ κατά τινα τῶν εἰρημένων θαυμάζει,
the such(-man) not according-to any of-the(-things) said admires
ὡς εἶπον, τὴν ἀρετήν, ἀλλ' ἢ διὰ τὸ σκεπάσαι τὴν
as I-said the virtue but either for the to-cover the
ἰδίαν ἀσχημοσύνην προσλαμβάνεται τὸ ὄνομα τῆς ἀρετῆς,
own shame he-takes-on the name of-the virtue
καὶ λαλεῖ περὶ αὐτῆς, ὡς ὅτι καὶ αὐτός, τοιοῦτός ἐστιν·
and talks about it as that also he such is
ἢ πολλάκις διὰ τὸ βλάψαι καὶ δελεάσαι τινα. Οὔτε μία
or often for the to-harm and to-entice someone not one
γὰρ κακία, οὔτε οὐδεμία αἵρεσις, οὔτε αὐτὸς ὁ διάβολος
for vice nor any heresy nor the-very the devil
δύναται ἀπατῆσαί τινα εἰ μὴ διὰ τοῦ σχηματίζεσθαι τὴν
can to-deceive anyone except — through the to-put-on-the-form-of the
ἀρετήν, καθὼς ὁ Ἀπόστολος λέγει, ὅτι αὐτὸς ὁ διάβολος
virtue as the Apostle says that the-very the devil
μετασχηματίζεται εἰς ἄγγελον φωτός· Οὐ μέγα οὖν
transforms-himself into (an)-angel of-light not great(-thing) then
εἰ καὶ οἱ διάκονοι αὐτοῦ μετασχηματίζονται, ὡς διάκονοι
if also the ministers his transform-themselves as ministers

δικαιοσύνης. Οὕτως οὖν καὶ ὁ ψεύστης, εἴτε φοβούμενος
of-righteousness thus then also the liar whether fearing
αἰσχύνην διὰ τὸ μὴ ταπεινωθῆναι, εἴτε, ὡς εἴπομεν, θέλων
shame for the not to-be-humbled or as we-said wishing
δελεάσαι καὶ ἀπατῆσαί τινα, λαλεῖ περὶ τῶν ἀρετῶν,
to-entice and to-deceive someone talks about the virtues
καὶ ἐπαινεῖ καὶ θαυμάζει, ὡς ἰδιοποιούμενος αὐτάς, καὶ
and praises and admires(-them) as appropriating them and
πεπειραμένος αὐτῶν· οὗτός ἐστιν ὁ ψευδόμενος εἰς
having-tried them this(-man) is the(-one) lying in
αὐτὸν τὸν βίον αὐτοῦ, οὗτος οὐκ ἔστιν ἁπλοῦς ἄνθρωπος,
the-very the life his this(-man) not is (a)-simple man
ἀλλὰ διπλοῦς· ἄλλος ἐστὶν ἔσωθεν, καὶ ἄλλος ἔξωθεν·
but double other he-is inside and other outside
διπλοῦν ἔχει καὶ ὅλον ἐκχλευασμένον τὸν βίον αὐτοῦ.
double he-has and wholly mocked the life his
Ἰδοὺ εἴπομεν περὶ τοῦ ψεύδους ὅτι ἐκ τοῦ πονηροῦ ἐστιν·
behold we-said about the lie that from the evil(-one) it-is
εἴπομεν καὶ περὶ τῆς ἀληθείας, ὅτι ἡ ἀλήθεια, ὁ Θεός
we-said also about the truth that the truth — God
ἐστι. Φύγωμεν οὖν τὸ ψεῦδος, ἀδελφοί, ἵνα ῥυσθῶμεν
is let-us-flee then the lie brothers that we-be-delivered
ἐκ τῆς μερίδος τοῦ ἐχθροῦ, καὶ ἀγωνισώμεθα κτήσασθαι
from the portion of-the enemy and let-us-struggle to-acquire
τὴν ἀλήθειαν, ἵνα ἑνωθῶμεν τῷ εἰπόντι, Ἐγώ εἰμι
the truth that we-be-united to-the(-one) having-said I am
ἡ ἀλήθεια. Ὁ Θεὸς ἀξιώσει ἡμᾶς τῆς ἀληθείας αὐτοῦ.
the truth — God will-deem-worthy us of-the truth his

Περὶ τοῦ μετὰ σκοποῦ καὶ νήψεως ὁδεύειν τὴν ὁδὸν τοῦ Θεοῦ

X · ON WALKING THE WAY OF GOD WITH AIM AND WATCHFULNESS

Time lost cannot be found again; as a student Dorotheos read so eagerly he forgot to eat. The virtues lie on the royal road between excess and deficiency, and vice has no substance of its own, like rust that eats the bronze that makes it. Pilgrims stop at different miles on the road to the holy city; so monks either work a passion, check it, or uproot it, and each should measure his place.

Φροντίσωμεν ἑαυτῶν, ἀδελφοί, νήψωμεν. Τίς δώσει ἡμῖν 1
let-us-take-thought-for ourselves brothers let-us-be-watchful who will-give us
τὸν καιρὸν τοῦτον, ἐὰν ἀπολέσωμεν αὐτόν; Ὄντως ἔχομεν
the time this if we-lose it truly we-shall-have
ζητῆσαι τὰς ἡμέρας ταύτας, καὶ μὴ εὕρωμεν αὐτάς. Ὁ
to-seek the days these and not we-find them the
ἀββᾶς Ἀρσένιος ἔλεγεν ἐν ἑαυτῷ πάντοτε· «Ἀρσένιε, διὸ
abba Arsenius said in himself always Arsenius why
ἐξῆλθες;» Ἡμεῖς δὲ ἐν τοσαύτῃ ἐσμὲν ἀπωλείᾳ καὶ
did-you-come-out we but in such are perdition and
ἀμελείᾳ· ὅτι οὔτε οἴδαμεν διὰ τί ἐξήλθομεν, οὔτε οὐκ
negligence that neither we-know for what we-came-out nor not
οἴδαμεν τί ἐστιν ὃ ἠθελήσαμεν· διὰ τοῦτο οὐ μόνον
we-know what is (it)-which we-wished because-of this not only
οὐ προκόπτομεν, ἀλλὰ καὶ θλιβόμεθα πάντοτε. Τοῦτο δὲ
not we-advance but also we-are-afflicted always this but
γίνεται ἡμῖν ἐκ τοῦ μὴ ἔχειν προσοχὴν ἐν τῇ καρδίᾳ ἡμῶν·
happens to-us from the not to-have attention in the heart our
καὶ ὄντως εἰ ἠθέλομεν μικρὸν ἀγωνίσασθαι, οὐκ εἴχομεν
and truly if we-wished (a)-little to-struggle not we-would
ἐπὶ πολὺ θλιβῆναι οὐδὲ κοπιᾶν· κἂν γὰρ παρὰ τὰς ἀρχὰς
for long to-be-afflicted nor to-toil even-if for at the beginnings

βιάζηταί τις ἑαυτόν, ἀλλὰ ἀγωνιζόμενος κατὰ μικρόν,
force someone himself but struggling by little
μικρὸν προκόπτει, καὶ λοιπὸν μετὰ ἀναπαύσεως ποιεῖ· τοῦ
little he-advances and henceforth with ease he-does(-it) —
Θεοῦ βλέποντος ὅτι ὅτε βιάζηται ἑαυτόν, καὶ παρέχοντος
God seeing that when he-force himself and providing
αὐτῷ βοήθειαν. Καὶ ἡμεῖς οὖν βιασώμεθα ἑαυτούς, βάλωμεν
him help and we then let-us-force ourselves let-us-lay
καλὴν ἀρχήν, θελήσωμεν τέως τὸ καλόν. Καὶ γὰρ
(a)-good beginning let-us-wish meanwhile the good and for
οὔπω ἐν τελειότητί ἐσμεν. Ἀλλ' αὐτὸ τὸ θέλειν, ἀρχὴ
not-yet in perfection are-we but the-very the to-wish (a)-beginning
σωτηρίας ἡμῖν ἐστιν· ἐκ τοῦ γὰρ θέλειν, ἐρχόμεθα σὺν
of-salvation for-us is from the for to-wish we-come with
Θεῷ καὶ εἰς τὸ ἀγωνίζεσθαι, καὶ ἐκ τοῦ ἀγωνίζεσθαι,
God also to the to-struggle and from the to-struggle
βοηθεῖταί τις εἰς τὸ κτήσασθαι τὰς ἀρετάς· διὰ
is-helped someone for the to-acquire the virtues because-of
τοῦτό τις τῶν Πατέρων λέγει· Δὸς αἷμα καὶ λάβε πνεῦμα·
this one of-the Fathers says give blood and receive spirit
τοῦτ' ἔστιν ἀγώνισαι, καὶ γένῃ ἐν ἕξει τῆς ἀρετῆς.
that is struggle and you-will-be in (the)-habit of-the virtue

2 Ὅτε ἀνεγίνωσκον εἰς τὴν ἔξω παιδείαν, ἐκοπίων ἐξ
when I-was-reading in the outside learning I-toiled from
ἀρχῆς πάνυ, καὶ ὅτε ἠρχόμην λαβεῖν τὸ βιβλίον, οὕτως
(the)-beginning very and when I-came to-take the book so
ἤμην, ὥς τις ὑπάγων ἅψασθαι θηρίου. Ὡς οὖν ἔμεινα
I-was as someone going to-touch (a)-wild-beast when then I-persisted
βιαζόμενος ἐμαυτόν, ἐβοήθησεν ὁ Θεός, καὶ οὕτως ἐγενόμην
forcing myself helped — God and so I-came-to-be
ἐν ἕξει τοῦ πράγματος, ὥστε μὴ εἰδέναι με τί ἔτρωγον
in (the)-habit of-the thing so-that not to-know me what I-ate

ἢ τί ἔπινον, ἢ πῶς ἐκοιμώμην, ἐκ τῆς καύσεως τῶν
or what I-drank or how I-slept from the burning of-the
ἀναγνωσμάτων· καὶ οὐδέποτε ἑλκύσθην εἰς ἄριστον μετὰ
readings and never was-I-drawn to (a)-luncheon with
ἑνὸς τῶν φίλων μου· ἀλλ᾽ οὐδὲ εἰς συντυχίαν ἠρχόμην μετ᾽
one of-the friends my but not-even to (a)-meeting did-I-come with
αὐτοῦ ἐν τῷ καιρῷ τοῦ ἀναγνώσματος· καίτοι φιλοσυνήθης
him in the time of-the reading although sociable
ὢν καὶ ἀγαπῶν τοὺς ἑταίρους μου. Ὡς οὖν ἀπέλυεν ἡμᾶς
being and loving the companions my when then dismissed us
ὁ σοφιστὴς καὶ ἐλουόμην· (ἔχρῃζον γὰρ καθ᾽ ἡμέραν
the sophist and I-washed I-needed for each day
ἐνυγραίνεσθαι, ἐπειδὰν ἀνεξηραινόμην ἐκ τῆς ὑπερβολῆς
to-be-moistened since I-was-dried-up from the excess
τῶν ἀναγνωσμάτων), ἀνεχώρουν ὅπου ἔμενον, μήτε εἰδὼς
of-the readings I-withdrew where I-lodged not knowing
ὅτι ἔχω φαγεῖν· οὐκ ἠδυνάμην γὰρ ἀπασχοληθῆναι,
what I-had to-eat not I-could for to-be-drawn-away
οὐδὲ εἰς τὸ ἐπιτάξαι αὐτῷ τὸ φαγεῖν μου. Πλὴν εἶχόν
not-even for the to-order him the to-eat my but I-had
τινα πιστόν, καὶ αὐτὸς ἡτοίμαζέ μοι εἴ τι ἤθελον.
someone faithful and he prepared for-me whatever — I-wished
Ἐλάμβανον οὖν εἴ τι εὕρισκον αὐτὸν ποιήσαντα, ἔχων
I-took then whatever — I-found him having-made having
καὶ τὸ βιβλίον μου ἐκ πλαγίων μου εἰς τὸν κράββατον, καὶ
also the book my at (the)-side my on the bed and
κατὰ μικρὸν ἐνέκυπτον εἰς αὐτόν, καὶ ἐν τῷ κοιμηθῆναι,
by little I-bent-down to it and in the to-sleep
ὁμοίως πλησίον μου εἶχον αὐτὸ εἰς τὸ θρονίον μου, καὶ ὡς
likewise near me I-had it on the chair my and when
ἥρπαζον μικρόν, εὐθέως ἀνεπήδων εἰς τὴν ἀνάγνωσιν·
I-snatched (a)-little(-sleep) at-once I-leapt-up to the reading

πάλιν ἑσπέρας, ὡς ἀνεχώρουν μετὰ τὸ λυχνικόν, ἧπτον
again in-the-evening when I-withdrew after the lamp-lighting I-lit
τὸν λύχνον, καὶ ἐποίουν ἕως τοῦ μεσονυκτίου ἀναγινώσκων,
the lamp and I-did(-so) until the midnight reading
καὶ οὕτως ἤμην ὅτι οὐκ ᾐσθανόμην οἵας δήποτε ἡδύτητος
and thus I-was that not I-perceived any whatever sweetness
εἰ μὴ ἐκ τῶν ἀναγνωσμάτων. Ὅτε οὖν ἦλθον εἰς
except — from the readings when then I-came into
τὸ μοναστήριον, ἔλεγον ἐμαυτῷ· «Εἰ ἐπὶ τοῦ ἔξω
the monastery I-said to-myself if in-the-case-of the outside
λόγου ἐγένετο τοιοῦτο πάθος καὶ τοιαύτη θέρμη, ἐκ τοῦ
learning came-about such (a)-passion and such warmth from the
σχολάσαι τινὰ τῇ ἀναγνώσει γενέσθαι ἐν ἕξει αὐτῆς,
to-be-at-leisure someone for-the reading to-come-to-be in (the)-habit of-it
πόσῳ μᾶλλον ἐπὶ τῆς ἀρετῆς;» καὶ ἐλάμβανον
how-much more in-the-case-of the virtue and I-took
πολλὴν δύναμιν ἐκ τοῦ πράγματος. Οὕτως ἐὰν θέλῃ
much power from the thing thus if wish
τις κτήσασθαι ἀρετήν, οὐκ ὀφείλει ἀδιαφορεῖν οὐδὲ
someone to-acquire virtue not he-ought to-be-indifferent nor
μετεωρίζεσθαι· ὥσπερ γάρ τις θέλων μαθεῖν τεκτονικήν,
to-be-distracted as for someone wishing to-learn carpentry
οὐ προσέχει ἄλλῃ τέχνῃ· οὕτως ἐστὶ καὶ ἐπὶ τῶν
not attends to-another craft thus it-is also in-the-case-of the(-ones)
θελόντων κτήσασθαι ἐργασίαν πνευματικήν. Οὐκ ὀφείλουσι
wishing to-acquire (a)-work spiritual not they-ought
προσέχειν ἄλλῳ τινὶ πράγματι, ἀλλὰ νυκτὸς καὶ ἡμέρας
to-attend to-another any thing but night and day
μελετᾷν ἐν αὐτῇ, πῶς δυνηθῶσι κτήσασθαι αὐτήν. Οἱ
to-meditate on it how they-may-be-able to-acquire it the(-ones)
δὲ μὴ οὕτως προσερχόμενοι τῷ πράγματι, οὐ μόνον οὐ
but not thus approaching the thing not only not

προκόπτουσιν, ἀλλὰ καὶ συντρίβονται, οὕτως ἀσκόπως
they-advance but also are-crushed thus aimlessly
περιφερόμενοι. Ἐὰν γὰρ μὴ νήφῃ τις καὶ ἀγωνίζηται,
carried-about if for not be-watchful someone and struggle
εὐχερῶς ἐκπίπτει εἰς τὰς παρεκβάσεις τῶν ἀρετῶν.
easily he-falls-out into the deviations of-the virtues
Αἱ γὰρ ἀρεταὶ μέσαι εἰσίν, ἡ βασιλικὴ ὁδός ἐστι, περὶ ἧς 3
the for virtues middle are the royal road it-is about which
εἶπεν ὁ ἅγιος γέρων ἐκεῖνος· «Ὁδῷ βασιλικῇ πορεύεσθε,
said the holy elder that by-(the)-road royal walk
καὶ τὰ μίλια μετρεῖτε.» Μέσαι οὖν, ὡς εἶπον, αἱ ἀρεταί,
and the miles measure middle then as I-said (are)-the virtues
ὑπερβολῶν καὶ ἐλλείψεων. Διὰ τοῦτο γέγραπται· Μὴ
of-excesses and deficiencies because-of this it-is-written not
ἐκκλίνῃς εἰς τὰ δεξιά, μηδὲ εἰς τὰ ἀριστερά· ἀλλὰ ὁδῷ
turn-aside to the right nor to the left but by-(the)-road
βασιλικῇ πορεύου. Καὶ ὁ ἅγιος Βασίλειος λέγει· Εὐθύς ἐστι
royal walk and the holy Basil says upright is
τῇ καρδίᾳ ὁ τὸν λογισμὸν μὴ ἔχων ῥέποντα εἰς
in-the heart the(-one) the thought not having inclining toward
ὑπερβολὴν μήτε ἔλλειψιν, ἀλλὰ ἀπευθυνόμενος πρὸς τὸ
excess nor deficiency but directed toward the
μέσον τῆς ἀρετῆς· οἷόν τι λέγω· Ἡ κακία καθ' ἑαυτήν,
middle of-the virtue such-as something I-say the vice by itself
οὐδέν ἐστιν. Οὔτε γὰρ οὐσία τίς ἐστιν, οὔτε ὑπόστασίν
nothing is neither for substance any is-it nor subsistence
τινα ἔχει· μὴ γένοιτο. Ἀλλὰ κλίνουσα ἡ ψυχὴ ἀπὸ τῆς
any does-it-have not may-it-be but inclining the soul from the
ἀρετῆς, γίνεται ἐμπαθής, καὶ ἀποτελεῖ τὴν κακίαν·
virtue becomes passionate and brings-to-completion the vice
ὅθεν καὶ κολάζεται ὑπ' αὐτῆς, μὴ εὑρίσκουσα φυσικήν τινα
whence also it-is-punished by it not finding natural any

ἀνάπαυσιν ἐν αὐτῇ· ὥσπερ, ὑπόθου, τὸ ξύλον. Μὴ γὰρ
rest in it as suppose the wood not for
σκώληκα ἔχει ἔσωθεν αὐτοῦ, ἀλλὰ ποιεῖ μικρὰν σῆψιν,
(a)-worm it-has inside it but it-makes (a)-small rot
καὶ ἐκ τῆς σήψεως ἐκείνης γίνεται ὁ σκώληξ, καὶ οὕτως
and from the rot that comes-about the worm and thus
αὐτὸς ὁ σκώληξ βιβρώσκει τὸ ξύλον. Ὁμοίως καὶ ὁ
the-very the worm eats the wood likewise also the
χαλκὸς αὐτὸς ποιεῖ τὸν ἰόν, καὶ αὐτὸς πάλιν ἀναλίσκεται
bronze itself makes the rust and it again is-consumed
ὑπὸ τοῦ ἰοῦ. Καὶ τὰ ἱμάτια αὐτὰ ποιεῖ τὸν σῆτα· καὶ
by the rust and the garments themselves make the moth and
αὐτὸς ὁ ἐξ αὐτοῦ γινόμενος σὴς φθείρει αὐτό. Οὕτως
the-very the from it coming-about (the)-moth destroys it thus
οὖν καὶ ἡ ψυχή, αὐτὴ ποιεῖ τὴν κακίαν, μηδὲν πρὸ
then also the soul itself makes the vice nothing before
τούτου οὖσαν, μηδεμίαν ἔχουσαν, ὡς εἶπον, ὑπόστασιν, καὶ
this being no having as I-said subsistence and
αὐτὴ κολάζεται ὑπὸ τῆς κακίας. Καὶ καλῶς εἶπεν ὁ ἅγιος
itself is-punished by the vice and well said the holy
Γρηγόριος· «Πῦρ γὰρ ὕλης γέννημα καὶ δαπανᾷ τὴν
Gregory fire for (is)-of-matter (the)-offspring and consumes the
ὕλην, ὡς τοὺς κακοὺς ἡ κακία.» Ὥσπερ καὶ ἐπὶ τῶν
matter as the evil(-ones) the vice as also in-the-case-of the
ἀῤῥωστούντων σωμάτων ἔστιν εὑρεῖν· ὅταν ἀτακτήσῃ
sick bodies it-is(-possible) to-find when be-disorderly
τις καὶ μὴ διοικήσῃ αὐτὸν ἐν τῇ ὑγείᾳ, γίνεται ἢ
someone and not manage himself in the health comes-about either
πλεονασμός, ἢ ἔλλειψις, καὶ λοιπὸν ἐκ τούτου ἀνωμαλεῖ.
excess or deficiency and henceforth from this he-is-irregular
Ὥστε πρὸ τούτου οὐδαμοῦ ἦν ἀῤῥωστία, οὐδέ τι ἦν·
so-that before this nowhere was sickness nor anything was(-it)

καὶ πάλιν μεθ᾽ ὧν ὑγιαίνει τὸ σῶμα, οὐδὲ οὐχ
and again after which(-time) is-healthy the body not-even not
εὑρίσκεται ἡ ἀῤῥωστία· οὐδέ τί ποτε ἦν. Ὁμοίως
is-found the sickness nor anything at-all was(-it) likewise
καὶ ἡ κακία ἀῤῥωστία ἐστὶ τῆς ψυχῆς στερουμένης τῆς
also the vice (a)-sickness is of-the soul deprived of-the
ἰδίας αὐτῆς καὶ κατὰ φύσιν ὑγείας· ἥτις ἐστὶν ἡ ἀρετή.
own its and according-to nature health which is the virtue
Διὰ τοῦτο εἴπομεν ὅτι μέσαι εἰσὶν ἀρεταί· οἷον ἡ 4
because-of this we-said that middle are (the)-virtues such-as the
ἀνδρεία μέση ἐστὶ τῆς δειλίας καὶ τῆς θρασύτητος· ἡ
courage middle is of-the cowardice and of-the rashness the
ταπεινοφροσύνη μέση ἐστὶ τῆς ὑπερηφανίας καὶ τῆς
humility middle is of-the pride and of-the
ἀνθρωπαρεσκίας· ὁμοίως ἡ εὐλάβεια, μέση ἐστὶ τῆς
man-pleasing likewise the reverence middle is of-the
αἰσχύνης καὶ τῆς ἀναιδείας· οὕτως κατὰ ἀναλογίαν καὶ αἱ
shame and of-the shamelessness thus by proportion also the
λοιπαὶ ἀρεταί. Ἐὰν οὖν εὑρεθῇ ἄνθρωπος ἀξιούμενος τούτων
other virtues if then be-found (a)-man deemed-worthy of-these
τῶν ἀρετῶν, οἷος εὑρίσκεται τίμιος παρὰ τῷ Θεῷ,
the virtues such(-a-one) is-found precious before — God
καὶ ἀεὶ φαίνεται μὲν τρώγων καὶ πίνων καὶ κοιμώμενος,
and always he-appears indeed eating and drinking and sleeping
ὥσπερ καὶ οἱ λοιποὶ τῶν ἀνθρώπων· ἔστι δὲ ὁ τοιοῦτος
as also the rest of-the men is but the such(-man)
τίμιος διὰ τὰς ἀρετὰς ἃς ἔχει. Εἰ δὲ μὴ νήφῃ τις
precious because-of the virtues which he-has if but not be-watchful someone
καὶ φυλάττῃ ἑαυτόν, ἐκκλίνει εὐχερῶς ἀπὸ τῆς ὁδοῦ, ἢ
and guard himself he-turns-aside easily from the road either
εἰς τὰ δεξιά, ἢ εἰς τὰ ἀριστερά· τοῦτ᾽ ἔστιν, ἐπὶ ὑπερβολὴν
to the right or to the left that is to excess

ἢ ἔλλειψιν, καὶ ἀποτελεῖ τὴν ἀῤῥωστίαν ἥτις ἐστὶν
or deficiency and he-brings-to-completion the sickness which is
ἡ κακία. Ἰδοὺ αὕτη ἐστὶν ἡ ὁδὸς ἡ βασιλικὴ ἐν ᾗ
the vice behold this is the road the royal(-road) on which
ὥδευσαν πάντες οἱ ἅγιοι· τὰ δὲ μίλιά εἰσιν αἱ διάφοροι
walked all the saints the and miles are the different
καταστάσεις ἃς ὀφείλῃ τις μετρεῖν, πάντοτε καὶ βλέπειν
states which ought someone to-measure always and to-see
ποῦ ἐστιν, εἰς ποῖον μίλιον ἔφθασεν, εἰς ποίαν κατάστασίν
where he-is to what mile he-has-come in what state
ἐστιν· οἷόν τι λέγω. Οὕτως ἐσμὲν ἡμεῖς πάντες ὥσπερ
he-is such-as something I-say so are we all as
τινὲς ἔχοντες σκοπὸν ὁδεῦσαι ἐπὶ τὴν ἁγίαν πόλιν· καὶ
some having (the)-aim to-walk to the holy city and
ἐξελθόντες ἀπὸ μιᾶς πόλεως, οἱ μέν, ὥδευσαν πέντε
having-gone-out from one city the(-ones) indeed walked five
μίλια καὶ ἀπέμειναν· οἱ δέ, ὥδευσαν δέκα· οἱ δέ,
miles and stayed-behind the(-ones) but walked ten the(-ones) and
καὶ ἕως τοῦ ἡμίσεως τῆς ὁδοῦ· οἱ δέ, οὐδὲ ὅλως
even up-to the half of-the road the(-ones) but not-even at-all
ὥδευσαν, ἀλλ᾽ ἐξῆλθον μὲν τῆς πόλεως· ἔμειναν δὲ
walked but went-out indeed from-the city stayed but
ἔξω τῶν πυλῶν εἰς τὴν δυσωδίαν αὐτῆς· οἱ δὲ ἐν τῇ
outside the gates in the stench its the(-ones) but on the
ὁδῷ ὄντες, ἔστιν ὅτε ὁδεύουσι δύο μίλια, καὶ πλανῶνται,
road being there-is when they-walk two miles and go-astray
καὶ ὑποστρέφουσιν αὐτά, ἢ δύο ποιοῦσι, καὶ ὑποστρέφουσι
and return them or two they-make and return
πέντε· οἱ δέ, ὥδευσαν ἕως αὐτῆς τῆς πόλεως, ἔμειναν
five the(-ones) but walked up-to the-very the city stayed
δὲ ἔξω, καὶ οὐκ εἰσῆλθον ἕως εἰς τὴν πόλιν. Ἰδοὺ οὕτως
but outside and not entered even into the city behold thus

ἐσμὲν καὶ ἡμεῖς. Εἰσὶ γάρ τινες ἐξ ἡμῶν, οἵ τε ἀφῆκαν
are also we there-are for some of us who both left
τὸν κόσμον, καὶ ἦλθον ἐς τὸ μοναστήριον σκοπὸν ἔχοντες
the world and came to the monastery (the)-aim having
εἰς τὸ κτήσασθαι τὰς ἀρετάς. Καὶ οἱ μὲν κατώρθωσαν
for the to-acquire the virtues and the(-ones) indeed achieved
ὀλίγον καὶ ἐναπέμειναν· ἄλλοι ἔτι μικρόν, ἄλλοι καὶ
little and stayed-behind others still (a)-little others even
ἕως τοῦ ἡμίσεως τοῦ πράγματος, καὶ ἐστάθησαν· ἄλλοι
up-to the half of-the matter and stood-still others
οὐδὲν ὅλως κατώρθωσαν, ἀλλὰ καὶ ἔδοξαν μὲν ἐξελθεῖν
nothing at-all achieved but even seemed indeed to-go-out
ἐκ τοῦ κόσμου, ἔμειναν δὲ εἰς τὰ τοῦ κόσμου πάθη,
from the world remained but in the of-the world passions
καὶ εἰς τὴν δυσωδίαν αὐτοῦ· ἄλλοι κατορθοῦσι μικρὸν
and in the stench its others achieve (a)-little
καλόν, καὶ πάλιν ἀναλύουσιν αὐτό. Εἰ δέ τινες καὶ πλεῖον
good and again undo it if but some also more
οὐ κατώρθωσαν ἀναλύουσιν· ἄλλοι κατώρθωσαν μὲν
not achieved they-undo(-it) others achieved indeed
τὰς ἀρετάς, ἔσχον δὲ ὑπερηφανίαν καὶ ἐξουδένωσιν τῶν
the virtues had but pride and despising of-the
πλησίων, καὶ ἔμειναν ἔξω τῆς πόλεως, καὶ οὐκ εἰσῆλθον
neighbors and remained outside the city and not entered
ἔσω, καὶ ὅμως οὐδὲ αὐτοὶ ἔτυχον τοῦ σκοποῦ αὐτοῦ·
inside and nevertheless not-even they attained the aim his
κἂν γὰρ ἔφθασαν τὴν πύλην τῆς πόλεως, ἀλλὰ ἔξωθεν
even-if for they-reached the gate of-the city but outside
ἔμειναν· ὥστε καὶ αὐτοὶ ἐξέπεσαν τοῦ ἰδίου σκοποῦ.
they-remained so-that also they fell-from the own aim

5 Ἕκαστος οὖν ἡμῶν μάθῃ ποῦ ἐστιν· εἰ ἐξέβη
each then of-us let-him-learn where he-is whether he-went-out
ἐκ τῆς ἰδίας πόλεως, ἔμεινε δὲ ἔξω τῆς πύλης εἰς
from the own city remained but outside the gate in
τὴν δυσωδίαν τῆς πόλεως, ἢ προέβη μικρόν, ἢ πολύ,
the stench of-the city or advanced (a)-little or much
ἢ ἔφθασε τὸ ἥμισυ τῆς ὁδοῦ· εἰ δύο μίλια ποιεῖ, καὶ
or reached the half of-the road whether two miles he-makes and
ἀναλύει τὰ δύο· εἰ δύο ποιεῖ καὶ ἀναλύει πέντε· εἰ
undoes the two whether two he-makes and undoes five whether
ὥδευσεν ἕως τῆς πόλεως, καὶ εἰσῆλθε εἰς τὴν Ἱερουσαλήμ·
he-walked up-to the city and entered into — Jerusalem
εἰς τὴν πόλιν μὲν ἔφθασεν· ἔσωθεν δὲ [καί] οὐκ ἠδυνήθη
into the city indeed he-reached inside but and not he-could
εἰσελθεῖν. Ἕκαστος μάθῃ τὴν κατάστασιν ἑαυτοῦ, ποῦ
to-enter each let-him-learn the state of-himself where
ἐστι. Τρεῖς καταστάσεις εἰσὶν ἐν τῷ ἀνθρώπῳ· ἔστιν ὁ
he-is three states are in the man there-is the(-one)
ἐνεργῶν τὸ πάθος, καὶ ἔστιν ὁ ἱστῶν αὐτό, καὶ ἔστιν
working the passion and there-is the(-one) checking it and there-is
ὁ ἐκριζῶν αὐτό· ὁ ἐνεργῶν τὸ πάθος ἐστίν, ὁ
the(-one) uprooting it the(-one) working the passion is the(-one)
πράττων αὐτό, ὁ ἐπεκδικῶν αὐτό. Ὁ δὲ ἱστῶν
doing it the(-one) defending it the(-one) and checking
τὸ πάθος ἐστίν, ὁ μήτε ἐνεργῶν, μήτε ἐκκόπτων
the passion is the(-one) neither working nor cutting-out
αὐτό, ἀλλὰ φιλοσοφῶν μέν, καὶ κατερχόμενος, ἔχων δὲ
it but philosophizing indeed and descending having but
τὸ πάθος ἐν ἑαυτῷ· ὁ δὲ ἐκριζῶν τὸ πάθος, ἐστὶν
the passion in himself the(-one) and uprooting the passion is
ὁ ἀγωνιζόμενος καὶ ποιῶν τὰ ἐναντία τοῦ πάθους.
the(-one) struggling and doing the opposites of-the passion

Ἔχουσι δὲ αἱ τρεῖς καταστάσεις αὗται πολὺ πλάτος·
have and the three states these much breadth
οἷόν τι εἴπατε, οἷον Θέλετε πάθος καὶ γυμνώσωμεν
such-as something say such-as do-you-wish (a)-passion and let-us-strip
αὐτό; Θέλετε εἴπωμεν περὶ ὑπερηφανίας; θέλετε εἴπωμεν
it do-you-wish let-us-speak about pride do-you-wish let-us-speak
περὶ πορνείας; ἢ θέλετε μᾶλλον λέγωμεν περὶ κενοδοξίας;
about fornication or do-you-wish rather let-us-speak about vainglory
Οὐ δύναταί τις ἀκοῦσαι ῥῆμα ἀπὸ τοῦ ἀδελφοῦ αὐτοῦ.
not can someone to-hear (a)-word from the brother his
Ἔστιν οὖν τις ὅτε ἀκούει ἓν ῥῆμα καὶ ταράσσεται, καὶ
there-is then someone when he-hears one word and is-troubled and
λέγει πέντε ῥήματα, ἢ καὶ δέκα ἀντὶ ἑνὸς ῥήματος, καὶ
says five words or even ten for one word and
μάχεται καὶ ταράσσεται, καὶ μετὰ τὸ παύσασθαι ἐκ τῆς
fights and is-troubled and after the to-cease from the
μάχης, μένει λογιζόμενος καὶ κατὰ τοῦ εἰπόντος αὐτῷ
fight he-remains reckoning also against the(-one) having-said to-him
τὸ ῥῆμα ἐκεῖνο, καὶ μνησικακῶν αὐτῷ, καὶ λυπούμενος
the word that and remembering-wrongs to-him and grieving
ὅτι οὐκ εἶπε πλέον ὧν εἶπε, καὶ ἑτοιμάζει ἑαυτῷ
that not he-said more(-than) what he-said and prepares for-himself
ῥήματα ἔτι δεινότερα εἰς τὸ εἰπεῖν αὐτῷ, καὶ ἀεὶ λέγει·
words still more-terrible for the to-say to-him and always he-says
«Διὰ τί οὐκ εἶπον αὐτῷ τόδε, καὶ ἔχω εἰπεῖν αὐτῷ
for what not did-I-tell him this and I-have to-tell him
τόδε;» καὶ ἀεὶ μαίνεται. Ἰδοὺ μία κατάστασις· αὕτη ἐστὶν
this and always he-rages behold one state this is
ἡ ἐν ἕξει ἔχουσα τὸ κακόν. Ὁ Θεὸς ῥύσεται ἡμᾶς ἀπὸ
the(-one) in habit having the evil — God will-deliver us from
τῆς τοιαύτης καταστάσεως· ἡ γὰρ τοιαύτη κατάστασις,
the such state the for such state

ὑπόκειται πάντως τῇ κολάσει· πᾶσα γὰρ ἡ κατ᾽
is-subject by-all-means to-the punishment every for the in
ἐνέργειαν ἁμαρτία ὑπὸ τὸν ᾅδην ἐστίν· ἀλλὰ κἂν θελήσοι
act sin under the Hades is but even-if wish
ὁ τοιοῦτος μετανοῆσαι, οὐκ ἰσχύει μόνος περιγενέσθαι
the such(-man) to-repent not he-is-strong alone to-overcome
τοῦ πάθους, εἰ μὴ καὶ βοήθειαν σχῇ παρά τινων ἁγίων,
the passion if not also help he-have from some saints
καθὼς καὶ οἱ Πατέρες εἶπον· διὰ τοῦτο ἀεὶ λέγω ὑμῖν,
as also the Fathers said because-of this always I-tell you
σπουδάζετε κόψαι τὰ πάθη πρὶν γενέσθαι ἐν ἕξει αὐτῶν·
be-eager to-cut-off the passions before to-come-to-be in habit of-them
ἔστιν ἄλλος ὅτε ἀκούει ῥῆμα καὶ ταράσσεται μὲν καὶ
there-is another when he-hears (a)-word and is-troubled indeed and
λέγει καὶ αὐτὸς πέντε ῥήματα, ἢ καὶ δέκα ἀντὶ ἑνός, καὶ
says also he five words or even ten for one and
θλίβεται ὅτι οὐκ εἶπεν ἄλλα τρισχείρω, καὶ λυπεῖται
is-afflicted that not he-said other three-times-worse(-ones) and grieves
καὶ μνησικακεῖ. Ποιεῖ δὲ ὀλίγας ἡμέρας, καὶ μεταβάλλεται·
and remembers-wrongs he-spends but few days and changes
ἄλλος ποιεῖ ἑβδομάδα ἐν τούτοις, καὶ μεταβάλλεται·
another spends (a)-week in these(-things) and changes
ἄλλος ποιεῖ μίαν ἡμέραν, καὶ μεταβάλλεται· ἄλλος ὑβρίζει,
another spends one day and changes another insults
μάχεται, ταράσσεται, ταράσσει καὶ εὐθέως μεταβάλλεται.
fights is-troubled troubles and at-once changes
Ἰδοὺ πόσαι διαφοραὶ καταστάσεων, καὶ ὅμως ὑπὸ τὸν
behold how-many differences of-states and nevertheless under the
ᾅδην εἰσὶν οὗτοι πάντες ἐφ᾽ ὅσον ἐνεργοῦσιν.
Hades are these all as long-as they-work(-the-passion)

Εἴπωμεν καὶ περὶ τῶν ἱστώντων τὸ πάθος· ὅτι ἔστι 6
let-us-speak also about the(-ones) checking the passion that there-is
τις ὅτε ἀκούει ῥῆμα καὶ θλίβεται μὲν καθ' ἑαυτόν·
someone when he-hears (a)-word and is-afflicted indeed by himself
πλὴν λυπεῖται οὐχ ὅτι ὑβρίσθη, ἀλλ' ὅτι οὐχ ὑπήνεγκεν·
but he-grieves not that he-was-insulted but that not he-bore(-it)
οὗτος τῆς καταστάσεως τῶν ἀγωνιζομένων ἐστί·
this(-man) of-the state of-the(-ones) struggling is
τῶν ἱστώντων τὸ πάθος ἐστίν. Ἄλλος ἀγωνίζεται καὶ
of-the(-ones) checking the passion he-is another struggles and
κοπιᾷ, ὕστερον δὲ νικᾶται ἐκ τοῦ βαρεῖσθαι αὐτὸν
toils later but is-conquered from the to-be-weighed-down him
ὑπὸ τοῦ πάθους. Ἄλλος οὐ θέλει μὲν ἀποκριθῆναι κακῶς,
by the passion another not wishes indeed to-answer badly
ἀπὸ συνηθείας δὲ συναρπάζεται· ἄλλος ἀγωνίζεται μὲν
from habit but is-carried-away another struggles indeed
μὴ λαλῆσαι ὅλως τι κακόν· λυπεῖται δὲ ὅτι ὑβρίσθη·
not to-say at-all anything evil grieves but that he-was-insulted
πλὴν ἀλλὰ καταγινώσκει ἑαυτοῦ ὅτι λυπεῖται καὶ μετανοεῖ
but yet condemns himself that he-grieves and repents
περὶ τούτου· ἄλλος οὐ λυπεῖται μὲν ὅτι ὑβρίσθη, ἀλλ'
about this another not grieves indeed that he-was-insulted but
οὐδὲ χαίρει. Ἰδοὺ οὗτοι πάντες οἱ ἱστῶντες τὸ πάθος
not-even rejoices behold these all the(-ones) checking the passion
εἰσίν· ἔχουσι δὲ ἐν ἑαυτοῖς διαφορὰν οἱ δύο πρὸς τοὺς
are they-have but in themselves (a)-difference the two toward the
λοιπούς, ὁ ἡττώμενος ἐν τῷ ἀγωνίζεσθαι, καὶ ὁ
others the(-one) being-defeated in the to-struggle and the(-one)
συναρπαζόμενος ἀπὸ συνηθείας, καὶ ὁ καταγινώσκων
carried-away from habit and the(-one) condemning
ἑαυτοῦ, ὅτι οὐχ ὑπήνεγκε μετ' εὐχαριστίας τὴν ὕβριν· οἱ
himself that not he-bore with thanksgiving the insult the(-ones)

δὲ λοιποὶ ἐν φόβῳ εἰσὶ τοῦ κινδύνου τῶν ἐνεργούντων·
but remaining in fear are of-the danger of-the(-ones) working(-it)
εἶπον δὲ αὐτοὺς τῶν ἱστώντων τὸ πάθος εἶναι· τῇ
I-said but them of-the(-ones) checking the passion to-be by-the
γὰρ διαθέσει ἔστησαν τὸ πάθος, καὶ οὐ θέλουσιν ἐνεργῆσαι,
for disposition they-checked the passion and not they-wish to-work(-it)
ἀλλὰ καὶ λυποῦνται ἀγωνίζοντες. Εἶπον δὲ οἱ Πάτρες, ὅτι
but even they-grieve struggling said and the Fathers that
πᾶν πρᾶγμα ὃ μὴ θέλει ἡ ψυχή, ὀλιγοχρόνιόν ἐστιν.
every thing which not wishes the soul short-lived is
Ὀφείλουσι δὲ ψηλαφᾶν ἑαυτοὺς μή πως κἂν μὴ αὐτὸ τὸ
they-ought but to-feel-out themselves lest somehow even-if not the-very the
πάθος, ἀλλά τι τῶν αἰτίων τοῦ πάθους ἐπεκδικοῦσι,
passion but something of-the causes of-the passion they-defend
καὶ διὰ τοῦτο ἡττῶνται ἢ συναρπάζονται. Εἰσὶ δέ
and because-of this they-are-defeated or are-carried-away there-are and
τινες, φησίν, ἀγωνιζόμενοι στῆσαι τὸ πάθος, ἀλλὰ κατὰ
some he-says struggling to-check the passion but by
πάθος. Ὁ μὲν γὰρ σιωπᾷ διὰ κενοδοξίαν· ὁ
(a)-passion the(-one) indeed for keeps-silent because-of vainglory the
δέ, δι᾽ ἀνθρωπαρέσκειαν, ἢ δι᾽ ἄλλο οἷον δήποτε
but because-of man-pleasing or through other any whatever
πάθος. Οὗτοι κακῷ τὸ κακὸν ἰῶνται. Εἶπε δὲ ὁ ἀββᾶς
passion these(-men) by-evil the evil heal said and the abba
Ποιμήν, ὅτι πονηρία οὐδαμῶς πονηρίαν ἀναιρεῖ. Οὗτοι
Poemen that wickedness in-no-way wickedness destroys these(-men)
μετὰ τῶν ἐνεργούντων εἰσὶ κἂν χλευάζωνται.
with the(-ones) working(-it) are even-if they-be-mocked

7 Θέλομεν λοιπὸν εἰπεῖν, καὶ περὶ τῶν ἐκριζούντων τὸ
we-wish henceforth to-speak also about the(-ones) uprooting the
πάθος. Ἔστι τις ὅτε χαίρει μὲν ἐπὰν ὑβρισθῇ, ἀλλὰ
passion there-is someone when he-rejoices indeed whenever he-is-insulted but

διὰ τὸ ἔχειν μισθόν. Οὗτος τῶν ἐκριζούντων τὸ πάθος
for the to-have (a)-reward this(-man) of-the(-ones) uprooting the passion
ἐστίν, ἀλλ᾽ οὐ μετὰ γνώσεως. Ἄλλος δὲ χαίρει ὑβριζόμενος,
is but not with knowledge another but rejoices being-insulted
καὶ ἔχει ὅτι χρεωστεῖ ὑβρισθῆναι, ὡς ὅτι αὐτὸς ἔδωκε
and holds that he-owes to-be-insulted as that he gave
τὴν αἰτίαν. Οὗτος μετὰ γνώσεως ἐκριζοῖ τὸ πάθος· τὸ
the cause this(-man) with knowledge uproots the passion the
γὰρ ὑβρισθῆναί τινα, καὶ φέρειν καθ᾽ ἑαυτοῦ τὴν αἰτίαν,
for to-be-insulted someone and to-bear against himself the cause
καὶ δέχεσθαι, ὡς ἴδια τὰ ἐπερχόμενα αὐτῷ, γνώσεώς
and to-receive as own the(-things) coming-on him of-knowledge
ἐστιν. Ἕκαστος γὰρ εὐχόμενος τῷ Θεῷ, Κύριε, δός μοι
is each for praying — to-God Lord give me
ταπείνωσιν, ὀφείλει εἰδέναι ὅτι τοῦτό ἐστιν ὃ αἰτεῖ, ἵνα
humility ought to-know that this is what he-asks that
πέμψῃ αὐτῷ τινα ὑβρίσαι αὐτῷ· ὅταν ὑβρίζεται ὑπό τινος,
he-send him someone to-insult him when he-is-insulted by someone
ὀφείλει καὶ αὐτὸς ἑαυτὸν ὑβρίζειν, καὶ ἐξουδενεῖν τῷ
he-ought also himself himself to-insult and to-despise with-the
ἰδίῳ λογισμῷ, ἵνα ἐκεῖνος μὲν ταπεινοῖ αὐτὸν ἔξωθεν, καὶ
own thought that that(-one) indeed humble him outside and
αὐτὸς ἑαυτὸν ἔσωθεν. Ἔστιν ἄλλος ὅτε οὐ χαίρει μόνον
he himself inside there-is another when not he-rejoices only
ὑβριζόμενος, καὶ ἑαυτὸν αἰτιᾶται· ἀλλὰ καὶ λυπεῖται διὰ
being-insulted and himself blames but also grieves because-of
τὴν ταραχὴν τοῦ ὑβρίσαντος αὐτόν· ὁ Θεὸς ἐνέγκοι
the trouble of-the(-one) having-insulted him — God may-bring
ἡμᾶς εἰς τὴν τοιαύτην κατάστασιν. Βλέπετε πόσον ἐστὶ
us into the such state you-see how-much is
πλάτος εἰς τὰς τρεῖς καταστάσεις. Ἕκαστος οὖν ἡμῶν,
(the)-breadth in the three states each then of-us

ὡς εἶπον, μάθῃ ποίας ἐστὶ καταστάσεως· ἐὰν θέλων
as I-said let-him-learn of-what he-is state whether willing
ἀκμὴν ἐνεργεῖ τὸ πάθος, καὶ ἐπεκδικεῖ, ἢ θέλων μὲν οὐ
still he-works the passion and defends(-it) or willing indeed not
ποιεῖ· νικώμενος δέ, ἢ ἀπὸ συνηθείας συναρπαζόμενος
he-does(-it) being-conquered but or from habit carried-away
ἐνεργεῖ αὐτό, καὶ μετὰ τὸ ἐνεργῆσαι, θλίβεται καὶ
he-works it and after the to-work(-it) is-afflicted and
μετανοεῖ ὅτι ἐνήργησεν, ἢ ἀγωνίζεται στῆσαι τὸ πάθος ἐν
repents that he-worked(-it) or struggles to-check the passion in
γνώσει, ἢ κατὰ ἄλλο πάθος ἀγωνίζεται, ὥσπερ εἴπομεν.
knowledge or by another passion struggles as we-said
Ἔστιν ὅτε σιωπᾷ τις ἢ κατὰ κενοδοξίαν, ἢ κατὰ
there-is when keeps-silent someone either by vainglory or by
ἀνθρωπαρέσκειαν, ἢ ἁπλῶς εἰπεῖν κατά τινα λογισμὸν
man-pleasing or simply to-say by some thought
ἀνθρώπινον, καὶ ἤρξατο ἐκριζοῦν τὸ πάθος. Καὶ εἰ μὲν
human and he-began to-uproot the passion and if indeed
μετὰ γνώσεως ἐκριζοῖ, καὶ ποιεῖ τὰ ἐναντία τοῦ πάθους·
with knowledge he-uproots(-it) and does the opposites of-the passion
ἕκαστος μάθῃ ποῦ ἐστιν· εἰ ποῖον μίλιόν ἐστιν· οὐ
each let-him-learn where he-is whether what mile he-is(-at) not
μόνον γὰρ ὀφείλομεν καθ' ἡμέραν ἐρευνᾷν ἑαυτούς, ἀλλὰ
only for ought-we each day to-examine ourselves but
καὶ κατὰ καιρὸν καὶ κατὰ μῆνα, καὶ καθ' ἑβδομάδα, καὶ
also by season and by month and by week and
λέγειν τὴν πρώτην ἑβδομάδα, τοιῶσδε ἐβαρούμην εἰς
to-say the first week thus I-was-weighed-down in
τόδε τὸ πάθος· ἆρα ἄρτι πῶς εἰμι; Ὁμοίως καὶ κατὰ
this the passion then now how am-I likewise also by
καιρὸν λέγειν, ὅτι πέρυσι τοιῶσδε ἐνικώμην ὑπὸ τοῦδε
season to-say that last-year thus I-was-conquered by this

τοῦ πάθους· ἄρτι πῶς ἔχω; Καὶ οὕτως καθ' ἑκάστην
the passion now how am-I and thus by each(-day)
γυμνάζειν ἑαυτούς, εἰ προεκόψαμεν μικρόν, ἢ ἐν τοῖς
to-exercise ourselves whether we-advanced (a)-little or in the
αὐτοῖς ἐσμεν, ἢ εἰς τὸ χεῖρον ἐγενόμεθα.
same(-things) we-are or into the worse we-have-come
Ὁ Θεὸς δώσει ἡμῖν δύναμιν, ἵνα τέως κἂν μὴ ἐκριζῶμεν
— God will-give us power that meanwhile even-if not we-uproot
τὸ πάθος, ἀλλ' οὖν μὴ ἐνεργῶμεν, ἀλλ' ἱστῶμεν αὐτό.
the passion but yet not we-work(-it) but we-check it
Ὄντως γὰρ βαρὺ πρᾶγμα τὸ ἐνεργεῖν, καὶ μὴ ἱστᾶν
truly for (a)-heavy thing the to-work and not to-check
τὸ πάθος. Καὶ λέγω ὑμῖν ὑπόδειγμα τί ὁ ἐνεργῶν
the passion and I-tell you (an)-example what the(-one) working
τὸ πάθος καὶ ἐπεκδικῶν αὐτό· ὅμοιός ἐστιν ἀνθρώπῳ
the passion and defending it like is to-a-man
κατατετοξευμένῳ ὑπὸ τοῦ ἐχθροῦ αὐτοῦ, καὶ δεχομένῳ ταῖς
shot-at by the enemy his and receiving with-the
χερσὶν αὐτοῦ τὰ βέλη, καὶ πηγνύοντι αὐτὰ εἰς τὴν καρδίαν
hands his the arrows and fixing them into the heart
ἑαυτοῦ. Ὁ δὲ ἱστῶν τὸ πάθος, ὅμοιός ἐστι τῷ
his-own the(-one) but checking the passion like is to-the(-man)
κατατετοξευμένῳ ὑπὸ τοῦ ἐχθροῦ αὐτοῦ, περιβεβλημένῳ
shot-at by the enemy his clothed
δὲ θώρακα, καὶ οὐκ εἰσδεχομένῳ τὸ βέλος· ὁ
but (with-a)-breastplate and not receiving the arrow the(-one)
δὲ ἐκριζῶν τὸ πάθος, ὅμοιός ἐστι κατατετοξευμένῳ καὶ
but uprooting the passion like is to-(one)-shot-at and
δεχομένῳ τὰ βέλη καὶ συντρίβοντι αὐτά, ἢ ἀποστρέφοντι
receiving the arrows and breaking them or turning-back
αὐτὰ εἰς τὴν καρδίαν τοῦ ἐχθροῦ, ὡς λέγει ἐν τῷ ψαλμῷ·
them into the heart of-the enemy as it-says in the psalm

Ἡ ῥομφαία αὐτῶν εἰσέλθοι εἰς τὰς καρδίας ἑαυτῶν,
the sword their may-it-enter into the hearts their-own
καὶ τὰ τόξα αὐτῶν συντριβείη. Σπουδάσωμεν οὖν καὶ
and the bows their be-broken let-us-be-eager then also
ἡμεῖς, ἀδελφοί, κἂν οὐ δυνάμεθα τέως ἀποστρέψαι τὴν
we brothers even-if not we-can meanwhile to-turn-back the
ῥομφαίαν αὐτῶν εἰς τὰς καρδίας αὐτῶν· ἀλλ' οὖν μήτε
sword their into the hearts their but yet neither
δεξώμεθα τὰ βέλη καὶ πήξωμεν αὐτὰ εἰς τὰς καρδίας ἡμῶν·
let-us-receive the arrows and fix them into the hearts our
ἀλλὰ καὶ περιθωρακίσωμεν ἑαυτούς, ἵνα μὴ πληγῶμεν ὑπ'
but even let-us-put-on-breastplates ourselves that not we-be-struck by
αὐτῶν. Ὁ Θεὸς ὁ ἀγαθὸς σκεπάσῃ ἡμᾶς ἀπ' αὐτῶν, καὶ
them — God the good protect us from them and
δώσῃ ἡμῖν νῆψιν, καὶ ὁδηγήσῃ ἡμᾶς εἰς τὴν ὁδὸν αὐτοῦ.
give us watchfulness and guide us into the way his

Περὶ τοῦ σπουδάζειν ταχέως ἐκκόπτειν τὰ πάθη πρὸ τοῦ ἐν ἕξει κακῇ γενέσθαι τὴν ψυχήν

XI · ON CUTTING OFF THE PASSIONS QUICKLY

A small sin takes long healing, as an elder showed with cypresses of growing size; the Fathers bid us examine ourselves each evening and morning.

1 Θέτε τὸν νοῦν ὑμῶν, ἀδελφοί, ὡς εἰς τὰ πράγματα, καὶ
set the mind your brothers as to the things and
βλέπετε, μὴ ἀμελήσητε ἑαυτῶν· ἐπειδὴ εἰς μεγάλους
see (that)-not you-neglect yourselves since into great
κινδύνους φέρει ἡμᾶς καὶ μικρὰ ἀμέλεια. Παρέβαλλον
dangers brings us even (a)-small negligence I-visited

ἄρτι τινὶ ἀδελφῷ πώποτε, καὶ εὗρον αὐτὸν πῶς ἀπὸ
just-now (a)-certain brother some-time and found him how from
ἀῤῥωστίας, καὶ ἐν τῷ λαβεῖν ἡμᾶς. Ἔμαθον ὅτι ἑπτὰ
sickness and in the to-take us I-learned that seven
ἡμέρας ἐπύρεξε μόνας, καὶ ἰδοὺ ἔχει ἄλλας τεσσαράκοντα
in that the day shall-perish the thoughts their the
διαλογισμοὺς λέγει τοῦ αἰῶνος τούτου. Οἷον, οἰκοδομῆς,
thoughts he-calls of-the age this such-as of-building
χωρίων, γονέων, τέκνων, πάσης δοσοληψίας. Ταῦτα ἅμα
of-estates of-parents of-children of-all giving-and-taking these(-things) at-once
τῷ ἐξελθεῖν τὴν ψυχὴν ἐκ τοῦ σώματος ἀπόλλει, καὶ
with-the to-go-out the soul from the body it-loses and
οὐδενὸς τούτων μνημονεύει, ἢ φροντίζει. Ἃ δὲ ἐποίησε
none of-these remembers or cares-for what but it-did

κατ᾽ ἀρετήν, ἢ κατὰ πάθος, τούτων μέμνηται, καὶ
according-to virtue or according-to passion these it-remembers and
οὐδὲν ἐξ αὐτῶν ἀπόλλει. Ἀλλὰ καὶ ἐὰν ὠφέλησέ τίς τινα,
nothing of them loses but even if benefited someone anyone
ἢ αὐτὸς ὠφελήθη παρά τινος, ἀεὶ μέμνηται καὶ τοῦ
or he was-benefited by someone always he-remembers both the(-one)
ὠφεληθέντος παρ᾽ αὐτοῦ, καὶ τοῦ ὠφελήσαντος αὐτόν·
benefited by him and the(-one) having-benefited him
ὁμοίως ἐβλάβη παρά τινος, ἢ αὐτὸς ἔβλαψέ τινα, ἀεὶ
likewise (if)-he-was-harmed by someone or he harmed someone always
μέμνηται, καὶ τοῦ βλάψαντος αὐτόν, καὶ τοῦ βλαβέντος
he-remembers both the(-one) having-harmed him and the(-one) harmed
ὑπ᾽ αὐτοῦ· καὶ οὐδέν, καθὼς εἶπον, ἀπόλλει ἡ ψυχὴ ὧν
by him and nothing as I-said loses the soul of-what
ἔπραξεν ἐν τῷ κόσμῳ τούτῳ, ἀλλὰ πάντων μέμνηται μετὰ
it-did in the world this but all(-things) it-remembers after
τὸ ἐξελθεῖν ἐκ τοῦ σώματος· ἀλλὰ καὶ ἔτι τρανοτέρως, ἔτι
the to-go-out from the body but even still more-clearly still
φανωτέρως, ὡς ἀπαλλαγεῖσα τοῦ γηΐνου τούτου σώματος.
more-evidently as released-from the earthly this body

4 Ποτὲ ἐλαλοῦμεν μετά τινος μεγάλου γέροντος περὶ
once we-were-talking with (a)-certain great elder about
τούτου· καὶ ἔλεγεν αὐτὸς ὁ γέρων, ὅτι Μέμνηται ἡ
this and said the-very the elder that remembers the
ψυχὴ μετὰ τὸ ἐξελθεῖν ἐκ τοῦ σώματος τοῦ πάθους οὗ
soul after the to-go-out from the body the passion which
ἐνήργησε, καὶ τῆς ἁμαρτίας, καὶ τοῦ προσώπου μεθ᾽ οὗ
it-worked and the sin and the person with whom
ἐνήργησεν αὐτήν. Ἐγὼ δὲ ἔλεγον αὐτῷ· «Τάχα οὐχ οὕτως,
it-worked it I but said to-him perhaps not thus
ἀλλ᾽ ἴσως τὴν ἕξιν τὴν γενομένην αὐτῇ ἐκ τῆς
but perhaps the habit the(-one) having-come-about in-her from the

ἐργασίας τῆς ἁμαρτίας μέλλει ἔχειν, καὶ αὐτῆς μέμνηται.»
working of-the sin it-is-about to-have and it it-remembers
Καὶ ἐμείναμεν ἐπὶ πολὺ φιλονεικοῦντες περὶ τοῦ λόγου
and we-remained for long contending about the word
τούτου θέλοντες μαθεῖν. Καὶ οὐκ ἐπείθετο ὁ γέρων λέγων,
this wishing to-learn and not was-persuaded the elder saying
ὅτι καὶ αὐτοῦ τοῦ εἴδους τῆς ἁμαρτίας μέμνηται, καὶ αὐτοῦ
that even the-very the form of-the sin it-remembers and the-very
τοῦ τόπου καὶ αὐτοῦ τοῦ προσώπου συναμαρτήσαντος.
the place and the-very the person having-sinned-with(-him)
Καὶ ὄντως ἐὰν οὕτως ἐστίν, ἔτι πλεῖον κάκην ἐσχάτην
and truly if thus it-is still more ill(-state) last
ἔχωμεν ἑαυτοῖς. Διὰ τοῦτο ἀεὶ λέγω ὑμῖν, σπουδάσατε
we-have for-ourselves because-of this always I-tell you be-eager
γεωργεῖν καλοὺς λογισμούς, ἵνα αὐτοὺς εὕρητε ἐκεῖ. Εἴ
to-cultivate good thoughts that them you-may-find there if
τι γὰρ ἔχει τις ὧδε, αὐτὸ ἐξέρχεται μετ' αὐτοῦ, καὶ
anything for has someone here it goes-out with him and
αὐτὸ μέλλει ἔχειν ἐκεῖ. Φροντίσωμεν ῥυσθῆναι ἀπὸ τῆς
it he-is-about to-have there let-us-take-thought to-be-delivered from the
τοιαύτης ἀνάγκης, ἀδελφοί, σπουδάσωμεν, καὶ ὁ Θεὸς
such necessity brothers let-us-be-eager and — God
ποιεῖ μεθ' ἡμῶν τὸ ἔλεος. Αὐτὸς γάρ ἐστιν ἡ ἐλπὶς
does with us the mercy he for is the hope
πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ
of-all the ends of-the earth and of-the(-ones) on (the)-sea
μακράν. Οἱ εἰς τὰ πέρατα τῆς γῆς, εἰσὶν οἱ ἐν
far-off the(-ones) at the ends of-the earth are the(-ones) in
τελείᾳ κακίᾳ· οἱ δὲ ἐν θαλάσσῃ μακράν εἰσιν, οἱ
perfect vice the(-ones) but on (the)-sea far-off are the(-ones)
ἐν ἐσχάτῃ ἀγνωσίᾳ· καὶ ὅμως ὁ Χριστός ἐστιν ἡ ἐλπὶς
in last ignorance and nevertheless — Christ is the hope

τῶν τοιούτων. Χρεία μικροῦ κόπου, κοπιάσωμεν, ἵνα
of-the such(-ones) (there-is)-need of-little toil let-us-toil that
ἐλεηθῶμεν. Ἐὰν ἔχῃ τις χωρίον καὶ ἀμελήσῃ αὐτοῦ καὶ
we-may-be-pitied if have someone (a)-field and neglect it and
χερσωθῇ, οὐχ ὅσον ἀμελεῖ αὐτοῦ, τοσοῦτον γεμοῦται
it-become-waste not as-much-as he-neglects it so-much is-it-filled
ἀκανθῶν καὶ τριβόλων; ὅταν δὲ ἔλθῃ εἰς τὸ καθαρίσαι
with-thorns and thistles when but he-come to the to-clear
αὐτό, οὐχ ὅσον γέμουσι τοσοῦτο ἔχουσιν αἱμορῥαγῆσαι
it not as-much-as they-are-full so-much have-they to-bleed
αἱ χεῖρες αὐτοῦ, θέλοντος ἀνασπᾶσαι τὴν κακὴν βοτάνην
the hands his wishing to-pull-up the evil plant
ἐκείνην, ἣν ἀφῆκεν ἀνελθεῖν ἐν τῷ καιρῷ τῆς ἀμελείας
that which he-let to-come-up in the time of-the negligence
αὐτοῦ; Ἀδύνατον γάρ ἐστι τινὰ μὴ θερίσαι ὃ ἔσπειρε·
his impossible for it-is (for)-anyone not to-reap what he-sowed
χρῄζει δὲ ὁ θέλων καθαρίσαι τὸ χωρίον αὐτοῦ, πρῶτον
needs but the(-one) wishing to-clear the field his first
μὲν ἵνα καλῶς ἐκριζώσῃ πάσας τὰς βοτάνας. Ἐὰν γὰρ
indeed that well he-uproot all the plants if for
μὴ καλῶς ἀνασπάσῃ τὰς ῥίζας αὐτῶν πάσας, ἀλλὰ μόνον
not well he-pull-up the roots their all but only
ἄνωθεν κόψῃ αὐτάς, πάλιν φύονται. Θέλει οὖν τις ἵνα
above cut them again they-grow must then someone that
αὐτὰς ῥίζας, ὡς εἶπον, ἀνασπάσῃ, καὶ μετὰ τὸ καλῶς
themselves roots as I-said he-pull-up and after the well
καθαρίσαι αὐτὸ ἀπὸ τῶν βοτανῶν, καὶ ἀκανθῶν καὶ τῶν
to-clear it from the plants and thorns and the
τοιούτων, θέλει καλοστροφῆσαι αὐτὸ καὶ κοπανίσαι,
such(-things) he-must to-turn-well it and to-break(-the-clods)
καὶ οὕτως ἀροτριάσαι αὐτό· τότε λοιπὸν θέλει σπεῖραι
and thus to-plow it then henceforth he-must to-sow

αὐτὸ καλὸν σπέρμα. Ἐὰν γὰρ μετὰ τὸ ποιῆσαι αὐτὸν
it good seed if for after the to-make him
τοσαύτην φιλοκαλίαν, ἐάσει αὐτὸ ἀργόν, ἀνέρχονται αἱ
such care he-leave it idle come-up the
βοτάναι, καὶ εὑρίσκουσι τὴν γῆν ἁπαλὴν καὶ καλὴν ἐκ
plants and find the earth soft and good from
τῆς φιλοκαλίας, καὶ βάλλουσι κάτω εἰς βάθος τὰς ῥίζας,
the care and cast down into depth the roots
καὶ πλεῖον ἰσχυροποιοῦνται καὶ πληθύνονται ἐν αὐτῇ.
and more are-made-strong and are-multiplied in it
Οὕτως ἐστὶ καὶ τὰ τῆς ψυχῆς. Πρῶτον θέλει 5
thus is also the(-matter) of-the soul first (one)-must
ἐκκόψαι πᾶσαν παλαιὰν προσπάθειαν, καὶ τὰς κακὰς
to-cut-out every old attachment and the evil
συνηθείας. Καὶ ὁ ἅγιος Βασίλειος λέγει· «Οὐ μικρὸς δὲ
habits and the holy Basil says not small and
οὗτος ὁ ἀγών, ἑαυτοὺς περιγενέσθαι τῆς συνηθείας. Ἔθος
(is)-this the struggle ourselves to-overcome the habit custom
γὰρ διὰ μακροῦ χρόνου βεβαιωθέν, φύσεως ἰσχύν, ὡς
for through long time confirmed nature's strength as
τὰ πολλά, λαμβάνει.» Θέλει οὖν τις ἀγωνίσασθαι, ὡς
the most(-part) takes must then someone to-struggle as
εἶπον, πρὸς τὰς κακὰς συνηθείας, καὶ πρὸς τὰ πάθη,
I-said against the evil habits and against the passions
καὶ οὐ μόνον πρὸς τὰς αἰτίας αὐτῶν, αἵτινές εἰσι ῥίζαι.
and not only against the causes their which are roots
Καὶ ἐὰν μὴ αἱ ῥίζαι ἐκβληθῶσιν, ἀνάγκη τὰς ἀκάνθας
and unless — the roots be-cast-out (it-is)-necessity the thorns
πάλιν φύεσθαι. Εἰσὶ γάρ τινα πάθη μηδὲν ἰσχύοντα,
again to-grow there-are for some passions nothing prevailing
ἐὰν ἐκκόψῃ τις τὰς αἰτίας αὐτῶν· οἷον, ὁ φθόνος καθ'
if cut-out someone the causes their such-as the envy by

ἑαυτὸν οὐδέν ἐστιν, ἀλλὰ ἔχει τινὰ αἴτια ἐξ ὧν ἐστι
itself nothing is but it-has some causes from which it-is
καὶ ἡ φιλοδοξία. Θέλων γάρ τις δοξασθῆναι, φθονεῖ
and the love-of-glory wishing for someone to-be-glorified envies
τῷ δοξαζομένῳ, ἢ τῷ προτιμωμένῳ. Ὁμοίως καὶ
the(-one) being-glorified or the(-one) being-preferred likewise also
ἡ ὀργὴ γίνεται ἐξ ἄλλων αἰτιῶν, καὶ μάλιστα ἐκ τῆς
the wrath comes-about from other causes and especially from the
φιληδονίας. Καὶ μέμνηται τούτου καὶ Εὐάγριος λέγων περί
love-of-pleasure and remembers this also Evagrius saying about
τινος ἁγίου, ὅτι ἔλεγε, διὰ τοῦτο ἀπαίρω τὰς ἡδονάς,
some saint that he-said because-of this I-take-away the pleasures
ἵνα τὰς τοῦ θυμοῦ περικόψω προφάσεις. Καὶ πάντες δὲ
that the of-the anger I-may-cut-off pretexts and all too
οἱ Πάτρες λέγουσιν ὅτι ἕκαστον πάθος ἐκ τούτων τῶν
the Fathers say that each passion from these the
τριῶν γεννᾶται, τῆς φιλοδοξίας, τῆς φιλαργυρίας, καὶ τῆς
three is-born the love-of-glory the love-of-money and the
φιληδονίας, καθὼς διαφόρως εἶπον ὑμῖν. Θέλει οὖν τις οὐ
love-of-pleasure as variously I-told you must then someone not
μόνον ἐκκόψαι τὰ πάθη, ἀλλὰ καὶ τὰς αἰτίας αὐτῶν, καὶ
only to-cut-out the passions but also the causes their and
οὕτως φιλοκαλῆσαι καλῶς τὰ ἤθη αὐτοῦ, διὰ μετανοίας,
thus to-cultivate well the ways his through repentance
καὶ κλαυθμῶν, καὶ τότε ἄρξασθαι σπείρειν τὸ καλὸν
and weeping and then to-begin to-sow the good
σπέρμα, ἅτινά εἰσι, τὰ καλὰ ἔργα. Ἐπεὶ ὥσπερ εἴπομεν
seed which are the good works since as we-said
περὶ τοῦ χωρίου, ὅτι, ἐὰν μὴ βάλλῃ τις καλὸν σπέρμα,
about the field that unless — cast someone good seed
ἀνέρχονται αἱ βοτάναι καὶ εὑρίσκουσι τὴν γῆν καλὴν καὶ
come-up the plants and find the earth good and

ἁπαλὴν ἐκ τῆς φιλοκαλίας, καὶ πλεῖον ῥιζοβολοῦσιν εἰς
soft from the care and more strike-root in
αὐτήν· οὕτως εἰσὶ καὶ τὰ τοῦ ἀνθρώπου· ἐὰν μετὰ
it thus are also the(-things) of-the man if after
τὸ φιλοκαλῆσαι αὐτὸν τὰ ἤθη αὐτοῦ, καὶ μετανοῆσαι ἀπὸ
the to-cultivate him the ways his and to-repent from
τῶν προτέρων αὐτοῦ πράξεων, ἀμελήσει τοῦ ποιῆσαι καλὰ
the former his deeds he-neglect of-the to-do good
ἔργα καὶ κτήσασθαι τὰς ἀρετάς, γίνεται ἐπ᾽ αὐτῷ, ὡς
works and to-acquire the virtues it-comes-about with him as
λέγει τὸ Εὐαγγέλιον· Ὅταν τὸ ἀκάθαρτον πνεῦμα ἐξέλθῃ
says the Gospel when the unclean spirit go-out
ἀπὸ τοῦ ἀνθρώπου, διέρχεται δι᾽ ἀνύδρων τόπων ζητοῦν
from the man it-goes-through through waterless places seeking
ἀνάπαυσιν, καὶ μὴ εὑρίσκον, τότε λέγει· Ὑποστρέψω εἰς
rest and not finding(-it) then it-says I-will-return to
τὸν οἶκόν μου ὅθεν ἐξῆλθον.
the house my whence I-came-out
Καὶ ἐλθὸν εὑρίσκει αὐτὸν σχολάζοντα, δῆλον ἀπὸ
and having-come it-finds it unoccupied clearly from
πάσης ἀρετῆς, καὶ σεσαρωμένον καὶ κεκοσμημένον. Τότε
every virtue and swept and adorned then
πορεύεται καὶ παραλαμβάνει μεθ᾽ ἑαυτοῦ ἑπτὰ ἕτερα
it-goes and takes with itself seven other
πνεύματα πονηρότερα αὐτοῦ, καὶ εἰσελθόντα κατοικεῖ ἐκεῖ,
spirits more-evil than-itself and having-entered they-dwell there
καὶ γίνεται τὰ ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου χείρονα
and become the last(-things) of-the man that worse
τῶν πρώτων. Ἀδύνατον γάρ ἐστι τὴν ψυχὴν μεῖναι ἐν
than-the first impossible for it-is the soul to-remain in
τῇ αὐτῇ καταστάσει· ἀλλὰ εἰς προκοπὴν ἔρχεται· εἴτε
the same state but to advance it-comes whether

ἐπὶ τὸ κρεῖττον, εἴτε ἐπὶ τὸ χεῖρον. Διὰ τοῦτο ἕκαστος
to the better or to the worse because-of this each
θέλων σωθῆναι, χρείαν ἔχει οὐ μόνον μὴ ποιεῖν τὸ κακόν,
wishing to-be-saved need has not only not to-do the evil
ἀλλὰ καὶ τὸ ἀγαθὸν ἐργάσασθαι, ὡς λέγει ἐν τῷ ψαλμῷ·
but also the good to-work as it-says in the psalm
Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν. Οὐκ εἶπεν,
turn-aside from evil and do good not he-said
Ἔκκλινον ἀπὸ κακοῦ μόνον, ἀλλὰ καί, Ποίησον ἀγαθόν.
turn-aside from evil only but also do good
Οἷόν τι λέγω· Εἴωθέ τις ἀδικεῖν, θέλει οὐ
such-as something I-say was-accustomed someone to-do-wrong (one)-must not
μόνον μὴ ἀδικεῖν, ἀλλὰ καὶ δικαιοπραγεῖν. Εἰ ἦν ἄσωτος,
only not to-do-wrong but also to-act-justly if he-was dissolute
θέλει οὐ μόνον μὴ ἀσωτεύεσθαι, ἀλλὰ καὶ ἐγκρατεύεσθαι.
(one)-must not only not to-be-dissolute but also to-be-self-controlled
Εἰ ἦν ὀργίλος, θέλει οὐ μόνον μὴ ὀργίζεσθαι, ἀλλὰ καὶ
if he-was irascible (one)-must not only not to-be-angry but also
πραΰτητα κτήσασθαι. Εἰ ἐθρασύνετό τις, θέλει οὐ μόνον
meekness to-acquire if was-bold someone (one)-must not only
μὴ θρασύνεσθαι, ἀλλὰ καὶ ταπεινοῦσθαι. Καὶ τοῦτό ἐστι
not to-be-bold but also to-be-bumbled and this is
τὸ ἐκκλῖναι ἀπὸ κακοῦ, καὶ ποιῆσαι ἀγαθόν. Ἕκαστον γὰρ
the to-turn-aside from evil and to-do good each for
πάθος ἔχει τὴν ἐναντίαν αὐτοῦ ἀρετήν. Ἡ ὑπερηφανία ἔχει
passion has the opposite its virtue the pride has
τὴν ταπεινοφροσύνην, ἡ φιλαργυρία ἔχει τὴν ἐλεημοσύνην,
the humility the love-of-money has the almsgiving
ἡ ἀσωτία τὴν ἐγκράτειαν, ἡ ὀλιγωρία ἔχει τὴν ὑπομονήν,
the dissoluteness the self-control the faint-heartedness has the patience

ἡ ὀργὴ τὴν πραΰτητα, τὸ μῖσος τὴν ἀγάπην. Ἕκαστον
the wrath the meekness the hatred the love each
ἁπλῶς πάθος, ὡς εἶπον, ἔχει τὴν ἐναντίαν αὐτοῦ ἀρετήν.
simply passion as I-said has the opposite its virtue
Ταῦτα πολλάκις εἶπον ὑμῖν. Ὥσπερ οὖν ἐξεβάλομεν 6
these(-things) often I-told you as then we-cast-out
τὰς ἀρετὰς καὶ εἰσηνέγκαμεν τὰ πάθη αὐτῶν, οὕτως
the virtues and brought-in the passions (in-place)-of-them thus
θέλομεν κοπιάσαι οὐ μόνον ἐκβαλεῖν τὰ πάθη, ἀλλὰ καὶ
we-must to-toil not only to-cast-out the passions but also
εἰσενέγκαι τὰς ἀρετὰς καὶ καταστῆσαι αὐτὰς εἰς τὸν ἴδιον
to-bring-in the virtues and to-establish them in the own
τόπον. Φυσικῶς γὰρ ἔχομεν τὰς ἀρετὰς παρὰ τοῦ Θεοῦ
place naturally for we-have the virtues from — God
δοθείσας ἡμῖν. Ἅμα γὰρ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον,
given us at-once for made — God the man
ἐνέσπειρεν αὐτῷ τὰς ἀρετάς, ὡς λέγει· Ποιήσωμεν
he-sowed-in him the virtues as it-says let-us-make
ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν, καὶ καθ᾽ ὁμοίωσιν.
man according-to image our and according-to likeness
Κατ᾽ εἰκόνα εἶπεν, ἐπειδὴ ἄφθαρτον καὶ αὐτεξούσιον
according-to image he-said since incorruptible and self-determining
ἐποίησεν ὁ Θεὸς τὴν ψυχήν· καθ᾽ ὁμοίωσιν λέγει, τὸ
made — God the soul according-to likeness he-says the
κατ᾽ ἀρετήν. Λέγει γάρ· Γίνεσθε οἰκτίρμονες, καθὼς ὁ
according-to virtue(-likeness) it-says for become merciful as the
Πατὴρ ὑμῶν ὁ οὐράνιος οἰκτίρμων ἐστί. Γίνεσθε ἅγιοι, ὅτι
Father your the heavenly merciful is become holy because
ἐγὼ ἅγιός εἰμι. Καὶ πάλιν ὁ Ἀπόστολος λέγει· Γίνεσθε εἰς
I holy am and again the Apostle says become to
ἀλλήλους χρηστοί. Καὶ λέγει ὁ ψαλμός· Χρηστὸς Κύριος
one-another kind and says the psalm kind (is-the)-Lord

τοῖς ὑπομένουσι· καὶ ὅσα τοιαῦτα. Τοῦτό ἐστι
to-the(-ones) waiting and as-many(-things-as) such(-are) this is
τὸ καθ' ὁμοίωσιν. Ὥστε φυσικῶς ἔδωκεν ἡμῖν ὁ Θεὸς
the according-to likeness so-that naturally gave us — God
τὰς ἀρετάς· πάθη δὲ οὐκ ἔχομεν φυσικῶς· οὐδὲ γὰρ
the virtues passions but not we-have naturally not-even for
ἔχουσιν οὐσίαν τινά, ἢ ὑπόστασιν, ἀλλ' ὥσπερ τὸ σκότος
have-they substance any or subsistence but as the darkness
οὐχ ὑφέστηκε κατ' οὐσίαν, ἀλλὰ πάθος ἐστὶ περὶ
not subsists according-to substance but (an)-affection is about
τὸν ἀέρα, ὡς λέγει ὁ μέγας Βασίλειος, τῇ στερήσει τοῦ
the air as says the great Basil by-the deprivation of-the
φωτὸς παρυφιστάμενον· οὕτως ἐστὶ καὶ τὸ τῶν παθῶν.
light subsisting-alongside thus is also the(-case) of-the passions
Κλίνασα ἡ ψυχὴ διὰ φιληδονίας ἐκ τῶν ἀρετῶν
having-inclined the soul through love-of-pleasure from the virtues
κατεσκεύασε τὰ πάθη, καὶ ἐστερέωσεν αὐτὰ καθ' ἑαυτῆς.
built the passions and hardened them against itself
Ὥστε χρείαν ἔχομεν, ὡς εἶπον ὥσπερ ἐπὶ τοῦ χωρίου
so-that need we-have as I-said as in-the-case-of the field
μετὰ τὸ ποιῆσαι πᾶσαν φιλοκαλίαν, εὐθὺς σπεῖραι τὸ καλὸν
after the to-make all care at-once to-sow the good
σπέρμα, ἵνα πρὸς αὐτὸ καὶ τὸν καρπὸν καλὸν ποιήσῃ· θέλει
seed that for it also the fruit good it-make must
πάλιν ὁ σπείρων τὸ χωρίον αὐτοῦ ἅμα τῷ βαλεῖν
again the(-one) sowing the field his at-once with-the to-cast
τὸ σπέρμα, κρύψαι καὶ βυθίσαι αὐτὸ εἰς τὴν γῆν· ἐπεὶ
the seed to-hide and to-sink it into the earth else
ἔρχονται τὰ πετεινά, καὶ ἁρπάζουσιν αὐτό, καὶ ἀπόλλυται·
come the birds and snatch it and it-perishes
καὶ μεθ' ὃ κρύψει αὐτό, ἀναμένει τὸ ἔλεος τοῦ Θεοῦ, ἕως
and after which he-hides it he-awaits the mercy — of-God until

ὅτε πέμψῃ τὴν βροχήν, καὶ αὐξηθῇ ὁ σπόρος. Μυρία
when he-send the rain and be-increased the sowing ten-thousand(-times)
γὰρ ἐὰν κοπιάσῃ ὁ γεωργὸς καθαρίζων καὶ φιλοκαλῶν, καὶ
for if toil the farmer clearing and tending and
τότε σπείρων, ἐὰν μὴ βρέξῃ ὁ Θεὸς εἰς τὸν σπόρον αὐτοῦ,
then sowing unless — rain — God on the sowing his
εἰς μάτην γίνεται ὅλος ὁ κόπος αὐτοῦ. Οὕτως καὶ ἡμεῖς
in vain becomes whole the toil his thus also we
θέλομεν· κἂν ποιήσωμέν τι ἀγαθόν, ἵνα καλύπτωμεν
must even-if we-do anything good that we-cover
αὐτὸ διὰ τῆς ταπεινοφροσύνης, καὶ ἐπιρίπτωμεν ἐπὶ τὸν
it through the humility and cast upon —
Θεὸν τὴν ἀσθένειαν ἡμῶν· δεόμενοι αὐτοῦ ἵνα ἐπινεύσῃ
God the weakness our beseeching him that he-nod
εἰς τὸν κόπον ἡμῶν, ἐπεὶ εἰς μάτην γίνεται.
to the toil our else in vain it-becomes
Ἔστι πάλιν ὅτε καὶ μετὰ τὸ βρέξαι καὶ βλαστῆσαι τὸν
there-is again when even after the to-rain and to-sprout the
σπόρον, οὐ κατέρχεται πάλιν ἡ βροχὴ κατὰ τὸν καιρόν,
sowing not comes-down again the rain in the season
καὶ ξηραίνεται τὸ βλάστημα καὶ ἀπόλλυται. Χρήζει γὰρ
and dries-up the shoot and perishes needs for
καὶ ὁ σπόρος τῆς βροχῆς, καὶ τὸ βλάστημα ὁμοίως κατὰ
also the sowing the rain and the shoot likewise by
πρόσβασιν, ἕως οὗ στερεωθῇ, καὶ οὐδὲ οὕτως δύναταί
advance until — it-be-strengthened and not-even thus can
τις ἀμεριμνῆσαι. Ἐνίοτε γὰρ καὶ μετὰ τὸ αὐξηθῆναι
someone to-be-free-from-care sometimes for even after the to-be-increased
καὶ ποιῆσαι στάχυν, γίνεται βροῦχος, ἢ χάλαζα καὶ εἴ
and to-make (an)-ear comes (a)-locust or hail and if
τι τῶν τοιούτων, καὶ ἀπόλλυσι τὸν καρπόν. Οὕτως
anything of-the such(-things) and destroys the fruit thus

ἐστὶ καὶ ἐπὶ τῆς ψυχῆς. Ὅταν γὰρ κοπιάσει καὶ
it-is also in-the-case-of the soul when for (one)-toil and
καθαρίσει αὐτὴν ἀπὸ ὅλων τῶν παθῶν, ὧν εἴπομεν, καὶ
cleanse it from all the passions which we-said and
σπουδάσει εἰς ὅλας τὰς ἀρετάς, θέλει πάντοτε προσέχειν
be-eager for all the virtues (one)-must always to-attend
εἰς ἔλεος τοῦ Θεοῦ καὶ εἰς τὴν σκέπην αὐτοῦ, ἵνα μὴ
to (the)-mercy — of-God and to the protection his that not
ἐγκαταλίπωσιν αὐτὴν καὶ ἀπόληται. Ὥσπερ γὰρ εἴπομεν
they-forsake her and she-perish as for we-said
καὶ ἐπὶ τοῦ σπόρου, ὅτι καὶ μετὰ τὸ βλαστῆσαι
also in-the-case-of the sowing that even after the to-sprout
καὶ αὐξηθῆναι καὶ ποιῆσαι καρπόν, ἐὰν μὴ πάλιν κατὰ
and to-be-increased and to-make fruit unless — again by
πρόσβασιν κατέλθῃ ἡ βροχή, ξηραίνεται καὶ ἀπόλλυται·
advance come-down the rain it-dries-up and perishes
οὕτως ἐστὶ καὶ τὸ τοῦ ἀνθρώπου. Ἐὰν μετὰ τὸ ποιῆσαι
thus is also the(-case) of-the man if after the to-do
τοσαῦτα, ἐπάρῃ ὁ Θεὸς μικρὸν τὴν σκέπην αὐτοῦ, καὶ
so-much(-things) lift — God (a)-little the protection his and
ἐγκαταλίπῃ αὐτόν, ἀπόλλυται. Ἡ ἐγκατάλειψις δὲ γίνεται
forsake him he-perishes the forsaking and comes-about
τῷ ἀνθρώπῳ, ὅταν ποιεῖ πρᾶγμα παρὰ τὴν κατάστασιν
for-the man when he-does (a)-thing against the state
αὐτοῦ. Οἷόν τι λέγω· Ἐάν τις ᾖ εὐλαβὴς καὶ
his such-as something I-say if someone be devout and
ἔλθῃ εἰς ἀδιαφορίαν, ἢ ταπεινὸς καὶ ἔλθῃ εἰς θρασύτητα.
come to indifference or humble and come to boldness
Καὶ οὐ τοσοῦτον ἐγκαταλιμπάνει ὁ Θεὸς τὸν ἀδιάφορον,
and not so-much forsakes — God the indifferent(-man)
ἐὰν ἀδιαφορήσῃ, οὐδὲ τὸν θρασὺν ἐὰν θρασυνθῇ, ὅσον
*if he-be-indifferent nor the bold(-man) if he-be-bold as-much-as

ἐγκαταλιμπάνει τὸν εὐλαβῆ ἐὰν ἀδιαφορήσῃ, καὶ τὸν
he-forsakes the devout(-man) if he-be-indifferent and the
ταπεινὸν ἐὰν θρασυνθῇ. Τοῦτό ἐστι τὸ ἁμαρτεῖν τινα παρὰ
humble(-man) if he-be-bold this is the to-sin someone against
τὴν κατάστασιν αὐτοῦ· ἐκ τούτου γίνεται ἐγκατάλειψις.
the state his from this comes-about forsaking
Διὰ τοῦτο ὁ ἅγιος Βασίλειος ἄλλως κρίνει τὴν ἁμαρτίαν 7
because-of this the holy Basil otherwise judges the sin
τοῦ εὐλαβοῦς, καὶ ἄλλως τὴν τοῦ ἀδιαφόρου. Ὅταν δὲ
of-the devout(-man) and otherwise the(-sin) of-the indifferent(-man) when but
φυλάξῃ τις ἑαυτὸν καὶ ἀπὸ τούτου, θέλει προσέχειν,
guard someone himself also from this (one)-must to-attend
ἵνα μὴ ἐὰν ἐποίει μικρόν, ποιῇ αὐτὸ μετὰ κενοδοξίας,
that not if he-did (a)-little(-good) he-do it with vainglory
ἢ ἀνθρωπαρεσκείας, ἢ κατά τινα λογισμὸν ἀνθρώπινον,
or man-pleasing or by some thought human
καὶ ἀπόλλῃ αὐτὸ τὸ μικρὸν ὀλίγον ὃ ἐποίει, ὡς εἴπομεν
and lose it the small little which he-did as we-said
περὶ τοῦ βρούχου, καὶ τῆς χαλάζης, καὶ τῶν τοιούτων.
about the locust and the hail and the such(-things)
Πάλιν καὶ ἐπὶ τῆς γῆς ὅταν καὶ μηδὲν πάθῃ κακὸν
again also in-the-case-of the land when even nothing suffer evil
ὁ καρπός, ἀλλὰ καὶ φυλαχθῇ ἕως τοῦ θερισμοῦ· οὐδὲ
the fruit but even be-guarded until the harvest not-even
οὕτως δύναται ὁ γεωργὸς ἀμεριμνῆσαι· ἔστι γὰρ ὅτε καὶ
thus can the farmer to-be-free-from-care there-is for when even
μετὰ τὸ θερίσαι τινὰ τὸ χωρίον, καὶ ποιῆσαι ὅλον τὸν
after the to-reap someone the field and to-do whole the
κόπον αὐτοῦ, ἔρχεται πονηρὸς ἄνθρωπος μετὰ μίσους, καὶ
toil his comes (an)-evil man with hatred and
βάλλει πῦρ εἰς τὸν καρπὸν ἐκεῖνον, καὶ ἀπόλλει ὅλον τὸν
casts fire into the fruit that and destroys whole the

καρπόν, καὶ τὸν κόπον ἐκεῖνον τοῦ ἀνθρώπου. Ἕως οὗ ἴδῃ
fruit and the toil that of-the man until — he-see
ὅτι ἐκαθάρισεν αὐτὸ καλῶς καὶ ἔβαλεν εἰς τὴν ἀποθήκην,
that he-has-cleaned it well and cast(-it) into the storehouse
οὐ δύναται ἀμεριμνῆσαι· ὁμοίως καὶ ὁ ἄνθρωπος ὅταν
not he-can to-be-free-from-care likewise also the man when
δυνηθῇ ἐκ τούτων πάντων ὧν εἴπομεν ἐξειλῆται, οὐ θέλει
he-be-able from these all which we-said to-get-out not must
οὐδ' οὕτως ἀμεριμνῆσαι. Συμβαίνει γὰρ ὅτι μετὰ ὅλα
not-even thus to-be-free-from-care it-happens for that after all
ταῦτα, εὑρίσκει ὁ διάβολος πλανῆσαι αὐτόν, ἢ διὰ
these(-things) finds the devil(-how) to-deceive him either through
δικαιωμάτων, ἢ διὰ ὑπερηφανίας, ἢ διὰ τὸ ἐμβαλεῖν
self-justifications or through pride or because-of the to-cast-in
λογισμοὺς ἀπιστίας, ἢ κακῆς αἱρέσεως· καὶ οὐ μόνον ὅτι
thoughts of-unbelief or of-evil heresy and not only that
ἀπόλλει ὅλους τοὺς κόπους αὐτοῦ, ἀλλὰ καὶ χωρίζει αὐτὸν
he-destroys all the labors his but also separates him
ἀπὸ τοῦ Θεοῦ. Καὶ εἴ τι οὐκ ἠδυνήθη αὐτῷ διὰ τῆς
from — God and if anything not he-could to-him through the
πράξεως, δι' ἑνὸς λογισμοῦ ποιεῖ αὐτῷ. Ἔστι γὰρ ὅτε καὶ
deed through one thought he-does to-him there-is for when even
λογισμὸς δύναται χωρίσαι τινὰ τοῦ Θεοῦ, ἐὰν καταδέξηται,
(a)-thought can to-separate someone — from-God if he-accept(-it)
καὶ συγκατάθηται αὐτῷ. Ὥστε ὁ θέλων μετὰ ἀληθείας,
and consent to-it so-that the(-one) wishing with truth
οὐκ ὀφείλει ἀμεριμνῆσαι, ἕως ἐσχάτης ἀναπνοῆς. Χρεία οὖν
not ought to-be-free-from-care until (the)-last breath need then
κόπου καὶ φροντίδος πολλῆς, καὶ τοῦ δέεσθαι τοῦ Θεοῦ
of-toil and care much and of-the to-beseech — God

διὰ παντός, ἵνα αὐτὸς σκεπάσῃ καὶ διασώσῃ ἡμᾶς τῇ
through all(-time) that he protect and save us by-the
ἀγαθότητι αὐτοῦ, εἰς δόξαν τοῦ ἁγίου ὀνόματος αὐτοῦ.
goodness his for (the)-glory of-the holy name his

Περὶ τοῦ ἀταράχως καὶ εὐχαρίστως ὑποφέρειν τοὺς πειρασμούς

XIII · ON BEARING TEMPTATIONS UNTROUBLED AND THANKFULLY

The monk's mark shows in temptation, since nothing happens without God's providence, and God, unlike a friend, has the wisdom and power to do us good. Like swimmers who duck under the waves, we pass trials unharmed by bowing beneath them. Israel's flight to Egypt and captivity in Assyria picture the soul that runs from toil to bodily ease, while afflictions draw down God's mercy as winds draw rain.

Καλῶς εἶπεν ὁ ἀββᾶς Ποιμήν, ὅτι τὸ σημεῖον τοῦ 1
well said the abba Poemen that the sign of-the
μοναχοῦ ἐν τοῖς πειρασμοῖς φαίνεται. Ὀφείλει γὰρ ὁ
monk in the temptations appears he-ought for the
μοναχὸς ὁ μετὰ ἀληθείας προσερχόμενος τῷ Κυρίῳ
monk the(-one) with truth coming to-the Lord
δουλεῦσαι, ἑτοιμάσαι κατὰ τὴν σοφίαν τὴν ψυχὴν αὐτοῦ
to-serve(-him) to-prepare according-to the wisdom the soul his
εἰς πειρασμούς, ἵνα μὴ ξενίζηταί ποτε μηδὲ ταράσσηται ἐν
for temptations that not he-be-surprised ever nor be-troubled at
τοῖς συμβαίνουσι· πιστεύων ὅτι οὐδὲν ἄνευ τῆς προνοίας
the(-things) happening believing that nothing without the providence
τοῦ Θεοῦ γίνεται. Ὅπου δὲ Θεοῦ πρόνοια, πάντως καλόν
— of-God happens where and (is)-God's providence by-all-means good
ἐστι, καὶ εἰς ὠφέλειαν ψυχῆς τὸ γινόμενον· πάντα
it-is and for (the)-benefit of-(the)-soul the(-thing) happening all(-things)

γὰρ ὅσα ποιεῖ ὁ Θεὸς μεθ' ἡμῶν, ὑπὲρ τοῦ συμφέροντος
for as-many-as does — God with us for the profit
ποιεῖ, καὶ ἀγαπῶν ἡμᾶς καὶ φειδόμενος ἡμῶν. Καὶ
he-does(-them) and loving us and sparing us and
ὀφείλομεν, ὡς εἶπεν ὁ Ἀπόστολος, ἐν παντὶ εὐχαριστεῖν
we-ought as said the Apostle in everything to-give-thanks
τῇ ἀγαθότητι αὐτοῦ, καὶ μηδέποτε ἀθυμεῖν, ἢ μικροψυχεῖν
to-the goodness his and never to-lose-heart or to-be-small-souled
ἐπὶ τοῖς συμβαίνουσιν ἡμῖν, ἀλλὰ δέχεσθαι ἀταράχως
at the(-things) happening to-us but to-receive untroubled
τὰ ἐπερχόμενα μετὰ ταπεινοφροσύνης καὶ τῆς μετὰ
the(-things) coming-on with humility and the after
Θεὸν ἐλπίδος· πεπεισμένοι, καθὼς εἶπον, ὅτι πάντα ὅσα
God hope persuaded as I-said that all(-things) as-many-as
ἂν ποιῇ μεθ' ἡμῶν ὁ Θεός, ἀγαθότητι ποιεῖ, καὶ ἀγαπῶν
— he-does with us — God in-goodness he-does(-them) and loving
ἡμᾶς ποιεῖ, καὶ καλῶς ποιεῖ. Καὶ οὐκ ἐνδέχεται
us he-does(-them) and well he-does(-them) and not it-is-possible
αὐτὰ ἄλλως καλῶς γενέσθαι, εἰ μὴ οὕτως ἐλέησεν ὁ
them otherwise well to-happen except — thus pitied —
Θεός. Φίλον ἐὰν ἔχῃ τις καὶ πληροφορεῖται ὅτι ἀγαπᾷ
God (a)-friend if have someone and is-fully-assured that he-loves
αὐτόν· εἴ τι δ' ἂν πάθῃ παρ' αὐτοῦ, κἂν θλιβερὸν ᾖ,
him if anything but — he-suffer from him even-if grievous it-be
ἔχει ὅτι ἀγαπῶν ἐποίησε, καὶ οὐδέποτε πιστεύει περὶ τοῦ
he-holds that loving(-him) he-did(-it) and never believes about the
φίλου αὐτοῦ, ὅτι βλάψαι αὐτὸν θέλει· πόσῳ μᾶλλον ἡμεῖς
friend his that to-harm him he-wishes how-much more we
ὀφείλομεν ἔχειν περὶ τοῦ Θεοῦ τοῦ πλάσαντος ἡμᾶς, καὶ
ought to-hold about — God the(-one) having-fashioned us and
ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγόντος, καὶ δι' ἡμᾶς
from the not being into the to-be having-brought(-us) and for us

ἐνανθρωπήσαντος, καὶ ὑπὲρ ἡμῶν ἀποθανόντος, ὅτι πάντα
having-become-man and for us having-died that all(-things)
ἀγαθότητι ποιεῖ μεθ᾽ ἡμῶν, καὶ ἀγαπῶν ἡμᾶς ποιεῖ;
in-goodness he-does with us and loving us he-does(-them)
Καὶ ἐπὶ μὲν τοῦ φίλου ἔστι λογίσασθαί τινα, 2
and in-the-case-of indeed the friend it-is(-possible) to-reckon (for)-someone
ὅτι ἀγαπῶν με ποιεῖ, καὶ φειδόμενος δι᾽ ἐμοῦ· ἀλλ᾽ οὐ
that loving me he-does(-it) and sparing for me but not
πάντως καὶ ταύτην ἔχει σύνεσιν, ὥστε διοικῆσαι τὰ
by-all-means also this has-he understanding so-as to-manage the(-things)
κατ᾽ ἐμέ, καὶ διὰ τοῦτο, ὡς εἰκός, καὶ μὴ θέλων
concerning me and because-of this as is-likely even not wishing
βλάπτει με· ἐπὶ δὲ Θεῷ οὐ δυνάμεθα τοῦτο εἰπεῖν.
he-harms me in-the-case-of but God not we-can this to-say
Αὐτὸς γάρ ἐστιν ἡ πηγὴ τῆς σοφίας, καὶ οἶδε πάντα τὰ
he for is the fount of-the wisdom and knows all the
συμφέροντα ἡμῖν, καὶ πρὸς αὐτὸ διοικεῖ τὰ καθ᾽ ἡμᾶς
profitable(-things) for-us and to it manages the(-things) concerning us
μέχρι καὶ τῶν εὐτελεστέρων. Ἔστι δὲ πάλιν εἰπεῖν περὶ
up-to even the cheaper(-things) it-is(-possible) and again to-say about
τοῦ φίλου ὅτι ἀγαπᾷ, καὶ φείδεται καὶ συνετός ἐστιν εἰς τὸ
the friend that he-loves and spares and understanding is for the
διοικῆσαι τὰ κατ᾽ ἐμέ, οὐ μὴν καὶ δύναμιν ἔχει εἰς τὸ
to-manage the(-things) concerning me not indeed also power has-he for the
βοηθῆσαί μοι ἐν οἷς νομίζει με ὠφελεῖσθαι. Οὐδὲ τοῦτο
to-help me in which(-things) he-thinks me to-be-benefited nor this
δυνάμεθα περὶ τοῦ Θεοῦ εἰπεῖν. Πάντα γὰρ δυνατὰ αὐτῷ
can-we about — God to-say all(-things) for possible for-him
ἐστι, καὶ οὐδὲν ἀδυνατεῖ ἐνώπιον αὐτοῦ. Ὥστε οὖν οἴδαμεν
are and nothing is-impossible before him so-that then we-know
περὶ τοῦ Θεοῦ, ὅτι ἀγαπᾷ καὶ φείδεται τοῦ ἰδίου πλάσματος,
about — God that he-loves and spares the own creature

καὶ αὐτός ἐστιν ἡ πηγὴ τῆς σοφίας, καὶ οἶδε πῶς διοικῆσαι
and he is the fount of-the wisdom and knows how to-manage
τὰ καθ' ἡμᾶς, καὶ ὅτι οὐδὲν ἀδύνατον αὐτῷ, ἀλλὰ
the(-things) concerning us and that nothing (is)-impossible for-him but
πάντα ὑπουργεῖ τῷ θελήματι αὐτοῦ, καὶ ὀφείλομεν εἰδέναι
all(-things) serve the will his and we-ought to-know
ὅτι πάντα ὅσα ποιεῖ, ὑπὲρ τοῦ συμφέροντος ποιεῖ, καὶ
that all(-things) as-many-as he-does for the profit he-does and
δέχεσθαι αὐτὰ μετὰ εὐχαριστίας, καθὼς προείπομεν, ὡς
to-receive them with thanksgiving as we-said-before as
παρὰ εὐεργέτου καὶ ἀγαθοῦ Δεσπότου, κἂν θλιβερὰ ὦσι·
from (a)-benefactor and good Master even-if grievous they-be
πάντα γὰρ δικαίᾳ κρίσει γίνονται, καὶ οὐ παραβλέπει
all(-things) for by-just judgment happen and not overlooks
ὁ Θεός, ὁ οὕτως ἐλεήμων, οὐδὲ τὴν τυχοῦσαν ἡμῶν
— God the thus merciful(-one) not-even the chance(-coming) our
θλῖψιν. Πολλάκις δὲ ἀμφιβάλλει τις ἐν ἑαυτῷ λέγων,
affliction often but doubts someone in himself saying
καὶ ἐὰν ἐν ταῖς ἐπιφοραῖς ἁμαρτάνει τις ἀπὸ θλίψεως
and if in the visitations sins someone from affliction
πῶς δύναται ἔχειν ὅτι ὑπὲρ τοῦ συμφέροντός εἰσιν;
how can-he to-hold that for the profit they-are
3 Οὐχ ἁμαρτάνομεν ἐν ταῖς ἐπιφοραῖς, εἰ μὴ ἐκ τοῦ εἶναι
not we-sin in the visitations except — from the to-be
ἡμᾶς ἀφερεπόνους, καὶ μὴ θέλειν βαστάσαι μικρὰν θλῖψιν,
us shirking-toil and not to-wish to-bear (a)-small affliction
ἢ παθεῖν τι παρὰ σκοπόν, ἐπεὶ οὐ συγχωρεῖ ὁ Θεὸς
or to-suffer anything against (our)-aim since not allows — God
ἐπενεχθῆναι ἡμῖν πρᾶγμα παρὰ τὴν δύναμιν ἡμῶν, ὡς
to-be-brought-on us (a)-thing beyond the power our as
εἶπεν ὁ Ἀπόστολος· Πιστὸς ὁ Θεός, ὃς οὐκ ἐάσει ἡμᾶς
said the Apostle faithful — (is)-God who not will-let us

πειρασθῆναι ὑπὲρ ὃ δυνάμεθα. Ἀλλ᾽ ἡμεῖς ἐσμεν οἱ
to-be-tempted beyond what we-are-able but we are the(-ones)
μὴ ἔχοντες ὑπομονήν, μηδὲν θέλοντες πονῆσαι μικρόν, μηδὲ
not having patience nothing wishing to-labor (a)-little nor
ἀνεχόμενοι δέξασθαί τι μετὰ ταπεινώσεως· διὰ τοῦτο
bearing to-receive anything with humility because-of this
συντριβόμεθα, καὶ ὅσον σπουδάζωμεν ἐκφυγεῖν τοὺς
we-are-crushed and as-much-as we-are-eager to-escape the
πειρασμούς, τοσοῦτον βαρούμεθα ἑαυτοῖς, καὶ ὀλιγωροῦμεν,
temptations so-much we-are-burdened to-ourselves and we-lose-heart
καὶ οὐδὲ ἐξηλῆσαι δυνάμεθα. Εἰσί τινες κολυμβῶντες διὰ
and not-even to-get-out can-we there-are some swimming for
χρείαν εἰς τὴν θάλασσαν, καὶ ἐὰν οἴδασι τὴν τέχνην τοῦ
need in the sea and if they-know the art of-the
κολυμβῆσαι, ὅτε ἔρχεται τὸ κῦμα κατ᾽ αὐτῶν, ὑποκάτω
to-swim when comes the wave against them beneath
αὐτοῦ ἕως οὗ παρέλθῃ, καὶ λοιπὸν μένουσιν ἀβλαβῶς
it until — it-pass and henceforth they-remain unharmed
κολυμβῶντες. Ἐὰν δὲ θελήσωσιν ἐναντιωθῆναι τῷ κύματι,
swimming if but they-wish to-oppose the wave
ὠθεῖ αὐτοὺς ἔξω, καὶ ἀκοντίζει πολὺ διάστημα. Πάλιν ὡς
it-thrusts them out and hurls(-them) much distance again when
ἄρχονται κολυμβᾷν, ἔρχεται ἄλλο κῦμα ἐπάνω αὐτῶν· ἐὰν
they-begin to-swim comes another wave upon them if
πάλιν ἐναντιωθῶσι, πάλιν ὠθεῖ αὐτοὺς ἔξω· καὶ μόνον
again they-oppose(-it) again it-thrusts them out and only
συντρίβονται μηδὲν ἀνύοντες. Ἐὰν δέ, ὡς εἶπον, ὑποκύψωσι
they-are-crushed nothing accomplishing if but as I-said they-stoop-under
τῷ κύματι καὶ ταπεινωθῶσιν ὑποκάτω αὐτοῦ, παρέρχεται
the wave and humble-themselves beneath it it-passes
μηδὲν βλάπτων αὐτοὺς καὶ μένουσι κολυμβῶντες ὅσον
nothing harming them and they-remain swimming as-long-as

θέλουσι, καὶ ποιοῦντες τὸ ἔργον αὐτῶν· οὕτως καὶ ἐπὶ
they-wish and doing the work their thus also in-the-case-of
τῶν πειρασμῶν, ἐάν τις βαστάσῃ τὸν πειρασμὸν μεθ'
the temptations if someone bear the temptation with
ὑπομονῆς καὶ ταπεινώσεως, παρέρχεται ἀβλαβῶς· ἐὰν
patience and humility it-passes unharmed if
δὲ μένῃ θλιβόμενος, ταρασσόμενος, αἰτιώμενος ἕκαστον,
but he-remain afflicted troubled blaming each(-one)
ἑαυτὸν κολάζει, βαρύνων καθ' ἑαυτοῦ τὸν πειρασμὸν
himself he-punishes weighing-down against himself the temptation
ἀνθ' οὗ οὐκ ὠφελεῖται, ἀλλὰ βλάπτεται. Πάνυ γὰρ
in-return-for which not he-is-benefited but is-harmed greatly for
ὠφελοῦσιν οἱ πειρασμοὶ τὸν ἀταράχως ὑπομένοντα
benefit the temptations the(-one) untroubled enduring
αὐτούς.
them

4 Καὶ πάθος δὲ ἐὰν ὀχλήσῃ ἡμῖν, οὐκ ὀφείλομεν οὐδὲ ἐν
and (a)-passion too if trouble us not we-ought not-even in
τούτῳ ταράσσεσθαι· τὸ γὰρ ταραχθῆναί τινα ὀχλούμενον
this to-be-troubled the for to-be-troubled someone troubled
ὑπὸ πάθους, ἀγνωσίας ἐστὶ καὶ ὑπερηφανίας, καὶ ἐκ τοῦ
by (a)-passion of-ignorance is and of-pride and from the
μὴ εἰδέναι τὴν ἰδίαν κατάστασιν, καὶ ἐκ τοῦ φεύγειν
not to-know the own state and from the to-flee
τὸν κόπον, καθὼς εἶπον οἱ Πατέρες. Διὰ τοῦτο οὐ
the toil as said the Fathers because-of this not
προκόπτομεν, ὅτι οὐκ ἐπιστάμεθα τὰ μέτρα ἑαυτῶν,
we-advance that not we-know the measures of-ourselves
οὐδὲ ἔχομεν ὑπομονὴν ἐν ᾧ ἀρχόμεθα ἔργῳ, ἀλλὰ
nor have-we patience in which(-thing) we-begin (a)-work but
ἀπόνως θέλομεν ἀρετὴν κτήσασθαι. Διὰ τί γὰρ ξενίζεται
without-toil we-wish virtue to-acquire for what for is-surprised

ὁ ἐμπαθὴς ὀχλούμενος ὑπὸ πάθους; Διὰ τί γὰρ
the passionate(-man) troubled by (a)-passion for what for
ταράσσεται ἐνεργήσας αὐτό; Ἔχεις αὐτὸ καὶ ταράσσῃ;
is-he-troubled having-worked it you-have it and are-troubled
Τοὺς ἀῤῥαβῶνας αὐτοῦ ἔχεις, καὶ λέγεις, Διὰ τί ὀχλεῖ
the pledges its you-have and you-say for what does-it-trouble
μοι; Μᾶλλον ὑπόμεινον, ἀγώνισαι, παρακάλεσον τὸν Θεόν.
me rather endure struggle beseech — God
Ἀδύνατον γάρ ἐστι μὴ ἔχειν τὴν θλῖψιν τῶν παθῶν,
impossible for it-is not to-have the affliction of-the passions
τὸν ἐμπεσόντα εἰς τὴν ἐνέργειαν αὐτῶν. Τὰ σκεύη
the(-one) having-fallen into the working of-them the vessels
αὐτῶν, ὡς εἶπεν ὁ ἀββᾶς Σισώης ἔνδοθέν σού εἰσι· δὸς
their as said the abba Sisoes inside you are give
αὐτοῖς τὸν ἀῤῥαβῶνα αὐτῶν, καὶ ὑπάγουσι. Τὰ σκεύη
them the pledge their and they-go-away the vessels
εἶπε τὰ αἴτια. Ἐφ' ὅσον οὖν ταῦτα ἠγαπήσαμεν
he-called the causes upon as-much-as then these(-things) we-loved
καὶ ἐνηργήσαμεν, οὐ δυνατὸν μὴ αἰχμαλωτίζεσθαι ἡμᾶς
and worked not (it-is)-possible not to-be-taken-captive us
ὑπὸ τῶν ἐμπαθῶν λογισμῶν, ἐκβιαζομένων ἡμῶν καὶ
by the passionate thoughts forcing us and
μὴ θέλοντας ἐνεργῆσαι τὰ πάθη· ἐπειδὴ ἑκόντες ἑαυτοὺς
not wishing to-work the passions since willingly ourselves
προεδώκαμεν εἰς τὰς χεῖρας αὐτῶν. Τοῦτό ἐστιν ὃ λέγει
we-betrayed into the hands their this is what says
ὁ προφήτης τὴν τοῦ Ἐφραὶμ τοῦ καταδυναστεύσαντος
the prophet the(-word) — of-Ephraim the(-one) having-oppressed
τὸν ἀντίδικον αὐτοῦ· τοῦτό ἐστι τὴν ἰδίαν συνείδησιν, καὶ
the adversary his that is the own conscience and
καταπατήσαντος κρίσιν, ὅτι ἐζήτησεν Αἴγυπτον, καὶ βίᾳ
having-trampled judgment because he-sought Egypt and by-force

ἐλήφθη ἐν Ἀσσυρίοις. Αἴγυπτον λέγουσιν οἱ Πάτρες τὸ
was-taken among (the)-Assyrians Egypt call the Fathers the
θέλημα τὸ σαρκικὸν τὸ κλῖνον ἡμᾶς εἰς τὴν σωματικὴν
will the fleshly the(-will) inclining us to the bodily
ἀνάπαυσιν, καὶ διδάσκον εἶναι ἡδυπαθέστερον τὸν νοῦν·
rest and teaching to-be more-luxurious the mind
Ἀσσυρίους δέ, τοὺς ἐμπαθεῖς λογισμούς, τοὺς θολοῦντας
(the)-Assyrians and the passionate thoughts the(-ones) muddying
καὶ συγχέοντας τὸν νοῦν καὶ πληροῦντας αὐτὸν εἰδώλων
and confusing the mind and filling it with-idols
ἀκαθάρτων, καὶ φέροντας αὐτὸν βίᾳ καὶ μὴ βουλόμενον,
unclean and carrying it by-force and not wishing
εἰς τὴν κατ᾽ ἐνέργειαν ἁμαρτίαν.
into the in act sin
5 Ἐὰν οὖν ἑκὼν ἐκδῷ τις ἑαυτὸν τῇ ἡδυπαθείᾳ τοῦ
if then willingly give-over someone himself to-the luxury of-the
σώματος, ἀναγκάζεται καὶ μὴ θέλων ἀχθῆναι εἰς Ἀσσυρίους
body he-is-compelled even not wishing to-be-led into (the)-Assyrians
βίᾳ, καὶ δουλεῦσαι τῷ Ναβουχοδονόσορ. Τοῦτο εἰδὼς ὁ
by-force and to-serve — Nebuchadnezzar this knowing the
προφήτης διεπονεῖτο καὶ ἔλεγεν αὐτοῖς· Μὴ κατέλθητε
prophet was-distressed and said to-them not go-down
εἰς Αἴγυπτον· τί ποιεῖτε, ἄθλιοι, ταπεινώθητε μικρόν·
into Egypt what are-you-doing wretched(-ones) be-humbled (a)-little
κλίνατε τὸν ὦμον ὑμῶν καὶ ἐργάσασθε τῷ βασιλεῖ
bend the shoulder your and work for-the king
Βαβυλῶνος, καὶ καθίσατε ἐπὶ τῆς γῆς τῶν πατέρων
of-Babylon and dwell on the land of-the fathers
ὑμῶν. Πάλιν διεγείρει αὐτοὺς λέγων· Μὴ φοβηθῆτε ἀπὸ
your again he-rouses them saying not be-afraid from
προσώπου αὐτοῦ, ὅτι μεθ᾽ ἡμῶν ἐστιν ὁ Θεὸς τοῦ
(the)-face his because with us is — God of-the

ἐξελέσθαι ἡμᾶς ἐκ τῶν χειρῶν αὐτοῦ. Εἶτα προλέγει
to-deliver us out-of the hands his then he-foretells
καὶ τὴν ἐπερχομένην αὐτοῖς θλῖψιν, ἐὰν ἀπειθήσωσι τῷ
also the coming upon-them affliction if they-disobey —
Θεῷ. Ἐὰν γάρ, φησίν, εἰσέλθητε εἰς Αἴγυπτον, ἔσεσθε εἰς
God if for he-says you-enter into Egypt you-will-be for
ἄβατον, καὶ ὑποχείριοι, καὶ εἰς ἀράν, καὶ εἰς ὀνειδισμόν.
(a)-desolation and subject and for (a)-curse and for (a)-reproach
Καὶ λέγουσιν αὐτῷ κἀκεῖνοι· Οὐ μὴ καθίσωμεν ἐν τῇ
and say to-him and-those(-men) not — shall-we-dwell in the
γῇ ταύτῃ, ὅτι εἰς Αἴγυπτον εἰσελευσόμεθα, καὶ οὐ μὴ
land this because into Egypt we-shall-enter and not —
ἴδωμεν πόλεμον, καὶ φωνῆς σάλπιγγος οὐκ ἀκούσωμεν,
shall-we-see war and (the)-sound of-(the)-trumpet not we-shall-hear
καὶ ἐν ἄρτοις οὐ μὴ πεινάσωμεν. Κατῆλθον οὖν καὶ
and in loaves not — shall-we-hunger they-went-down then and
ἐδούλευον ἑκόντες τῷ Φαραώ. Εἶτα ἤχθησαν βίᾳ εἰς
served willingly — Pharaoh then they-were-led by-force into
Ἀσσυρίους, καὶ ἐδούλευσαν αὐτοῖς καὶ μὴ θέλοντες.
(the)-Assyrians and served them even not willing
Θέτε τὸν νοῦν ὑμῶν εἰς τὸ λεγόμενον· Πρὸ τοῦ 6
set the mind your on the(-thing) said before the
ἐνεργῆσαί τινα τὸ πάθος, κἂν ἐπιστρατεύσωσιν οἱ
to-work someone the passion even-if campaign the
λογισμοὶ κατ᾽ αὐτοῦ, ἀλλὰ τέως ἐν τῇ ἰδίᾳ πόλει
thoughts against him but meanwhile in the own city
ἐστίν· ἔχει δὲ καὶ τὸν Θεὸν βοηθοῦντα αὐτῷ. Ἐὰν
he-is he-has and also — God helping him if
οὖν ταπεινωθῇ τῷ Θεῷ, καὶ βαστάξῃ τὸ ζυγὸν τὸ
then he-be-humbled — to-God and bear the yoke the(-yoke)
τῆς θλίψεως καὶ τοῦ πειρασμοῦ μετὰ εὐχαριστίας, καὶ
of-the affliction and of-the temptation with thanksgiving and

ἀγωνίζηται μικρόν, ἡ βοήθεια τοῦ Θεοῦ ἐξαιρεῖται αὐτόν.
struggle (a)-little the help — of-God delivers him
Ἐὰν δὲ φύγῃ τὸν κόπον, καὶ κατέλθῃ εἰς τὴν ἡδυπάθειαν
if but he-flee the toil and go-down into the luxury
τοῦ σώματος, τότε ἄγεται βίᾳ καὶ ἀνάγκῃ εἰς τὴν
of-the body then he-is-led by-force and necessity into the
γῆν τῶν Ἀσσυρίων, καὶ δουλεύει αὐτοῖς κἂν μὴ θέλων.
land of-the Assyrians and serves them even not willing
Τότε λοιπὸν λέγει αὐτοῖς ὁ προφήτης· Εὔξασθε ὑπὲρ
then henceforth says to-them the prophet pray for
τῆς ζωῆς Ναβουχοδονόσορ· ὅτι ζωὴ αὐτοῦ ἐστιν ἡ
the life of-Nebuchadnezzar because (the)-life his is the
σωτηρία ὑμῶν. Ναβουχοδονόσορ ἐστί, τὸ μὴ ὀλιγωρεῖν
salvation your Nebuchadnezzar is the not to-lose-heart
τινα πρὸς τὴν θλῖψιν τοῦ συμβαίνοντος αὐτῷ πειρασμοῦ,
someone toward the affliction of-the happening to-him temptation
μηδὲ ἀπολακτίζειν ἀπ᾽ αὐτοῦ, ἀλλὰ μετὰ ταπεινώσεως
nor to-kick-away from it but with humility
βαστάζειν, ὡς χρεωστῶν παθεῖν, καὶ ἔχει ὅτι οὐκ ἔστιν
to-bear(-it) as owing to-suffer and he-holds that not he-is
ἄξιος οὐδὲ ἀπαλλαγῆναι τοῦ βάρους, ἀλλὰ καὶ μᾶλλον
worthy not-even to-be-released from-the burden but even rather
τοῦ χρονίσαι, καὶ στερεωθῆναι κατ᾽ αὐτοῦ τὸν πειρασμόν,
of-the to-linger and to-be-strengthened against him the temptation
κἂν συνεῖδεν ἑαυτῷ τὴν αἰτίαν, κἂν πρὸς τὸ παρόν,
whether he-was-conscious in-himself (of)-the cause whether for the present
κἂν μὴ συνεῖδε, πιστεύων ὅτι οὐδὲν ἄκριτον παρὰ
or not he-was-conscious believing that nothing (is)-unjudged with
τῷ Θεῷ οὐδὲ ἄδικον. Ὥσπερ ἔλεγεν ἐκεῖνος ὁ ἀδελφὸς
— God nor unjust as said that the brother
λυπούμενος καὶ κλαίων, ἐπειδὴ ἐπῆρεν ὁ Θεὸς τὸν
grieving and weeping since lifted — God the

πειρασμόν· «Κύριε, οὐκ εἰμὶ ἄξιος θλιβῆναι μικρόν;» Πάλιν
temptation Lord not am-I worthy to-be-afflicted (a)-little again
γέγραπται ὅτι μαθητὴς μεγάλου γέροντος ἐπολεμήθη εἰς
it-is-written that (a)-disciple of-(a)-great elder was-warred(-on) to
πορνείαν. Καὶ βλέπων αὐτὸν ὁ γέρων κοπιῶντα, λέγει
fornication and seeing him the elder toiling says
αὐτῷ· «Θέλεις παρακαλέσω τὸν Θεόν, καὶ κουφίζει ἀπὸ
to-him do-you-wish (that)-I-beseech — God and he-lightens from
σοῦ τὸν πόλεμον;» Ὁ δὲ εἶπεν· «Εἰ καὶ κοπιῶ ἀββᾶς,
you the war he but said if even I-toil abba
ἀλλὰ βλέπω ἐκ τοῦ πόνου καρπὸν εἰς ἐμέ. Τοῦτο δὲ
but I-see from the labor fruit for me this but
μᾶλλον παρακάλεσον τὸν Θεόν, ἵνα δώσῃ μοι ὑπομονήν.»
rather beseech — God that he-give me patience
Ἰδοὺ οὗτοί εἰσιν ἀκριβῶς οἱ σωθῆναι θέλοντες, τοῦτό 7
behold these are exactly the(-ones) to-be-saved wishing this
ἐστι τὸ βαστάσαι μετὰ ταπεινοφροσύνης τὸν ζυγόν, καὶ
is the to-bear with humility the yoke and
εὔξασθαι ὑπὲρ τῆς ζωῆς Ναβουχοδονόσορ. Διὰ τοῦτο
to-pray for the life of-Nebuchadnezzar because-of this
λέγει ὁ προφήτης, Ὅτι Ἐν τῇ ζωῇ αὐτοῦ ἐστιν ἡ σωτηρία
says the prophet that in the life his is the salvation
ὑμῶν. Ὅμοιόν ἐστι τὸ εἰπεῖν τὸν ἀδελφόν· Βλέπω καρπὸν
your like is the to-say the brother I-see fruit
ἐκ τοῦ κόπου εἰς ἐμέ, τῷ εἰπεῖν· Ἐν τῇ ζωῇ αὐτοῦ ἐστιν
from the toil for me to-the to-say in the life his is
ἡ σωτηρία μου. Ὡς δηλοῖ καὶ ὁ γέρων αὐτῷ· «Σήμερον
the salvation my as shows also the elder to-him today
ἔγνων ὅτι ἐν προκοπῇ εἶ, καὶ ὑπερβαίνεις με.» Ἐπὰν γὰρ
I-knew that in progress you-are and you-surpass me whenever for
ἀγωνίσηταί τις πρὸς τὴν κατ᾽ ἐνέργειαν ἁμαρτίαν, καὶ
struggle someone against the in act sin and

ἄρξηται πολεμεῖν, καὶ πρὸς τοὺς κατὰ διάνοιαν λογισμοὺς
begin to-war also against the in thought thoughts
ἐμπαθεῖς ταπεινοῦται, συντρίβεται, ἀγωνίζεται, καὶ διὰ
passionate be-is-humbled is-crushed struggles and through
τῆς θλίψεως τῶν ἀγώνων κατὰ μικρὸν καθαίρεται καὶ
the affliction of-the struggles by little is-cleansed and
ἐπανέρχεται εἰς τὸ κατὰ φύσιν. Ὥστε, καθὼς εἴπομεν,
returns to the according-to nature(-state) so-that as we-said
ἀπὸ ἀγνωσίας καὶ ὑπερηφανίας ταράσσεταί τις ὅταν
from ignorance and pride is-troubled someone when
ὀχλεῖται ὑπὸ πάθους, ἀλλὰ μᾶλλον μετὰ ταπεινώσεως
he-is-troubled by (a)-passion but rather with humility
ὀφείλει εἰδέναι τὰ ἴδια μέτρα· καὶ ὑπομεῖναι εὐχόμενος, ἕως
he-ought to-know the own measures and to-endure praying until
ποιήσει ὁ Θεὸς μετ᾽ αὐτοῦ τὸ ἔλεος. Ἐὰν γὰρ μὴ πειρασθῇ
does — God with him the mercy if for not be-tempted
τις, καὶ ἴδῃ τὴν θλῖψιν τῶν παθῶν, οὔτε ἀγωνίζεταί
someone and see the affliction of-the passions neither struggles-he
ποτε καθαρθῆναι. Καὶ λέγει ὁ ψαλμός, περὶ τούτου· Ἐν
ever to-be-cleansed and says the psalm about this in
τῷ ἀνατεῖλαι ἁμαρτωλοὺς ὡσεὶ χόρτον, καὶ διέκυψαν
the to-spring-up sinners like grass and peeped-out
πάντες οἱ ἐργαζόμενοι, ὅπως ἂν ἐξολοθρευθῶσιν εἰς
all the(-ones) working that — they-be-utterly-destroyed for
τὸν αἰῶνα τοῦ αἰῶνος. Ἁμαρτωλοὶ ἀνατέλλοντες ὡσεὶ
the age of-the age sinners springing-up like
χόρτος εἰσὶν οἱ ἐμπαθεῖς λογισμοί. Ἀσθενὴς γάρ ἐστιν
grass are the passionate thoughts weak for is
ὁ χόρτος, καὶ μὴ ἔχων δύναμιν. Ὅτε οὖν ἀνατείλωσιν
the grass and not having power when then spring-up
οἱ ἐμπαθεῖς λογισμοὶ ἐν τῇ ψυχῇ, τότε διακύπτουσι,
the passionate thoughts in the soul then peep-out

τοῦτ᾽ ἔστιν ἀναφαίνονται πάντες οἱ ἐργαζόμενοι τὴν
that is appear all the(-ones) working the
ἀνομίαν· οἵτινές εἰσι τὰ πάθη, ὅπως ἂν ἐξολοθρευθῶσιν
lawlessness which are the passions that — they-be-utterly-destroyed
εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ὅταν γὰρ ἀναφανῶσι τὰ
for the age of-the age when for appear the
πάθη τοῖς λεγομένοις, τότε ἐξολοθρεύονται ὑπ᾽ αὐτοῦ.
passions to-the(-ones) said(-so) then they-are-destroyed by him
Νοήσατε τὴν ἀκολουθίαν τοῦ λόγου. Πρῶτον ἀνατέλλουσιν 8
understand the sequence of-the word first spring-up
οἱ ἐμπαθεῖς λογισμοί, ἔπειτα ἀνακύπτουσι τὰ πάθη, εἶθ᾽
the passionate thoughts then peep-up the passions then
οὕτως ἐξολοθρεύονται. Ταῦτα πάντα ἀγωνιζομένων εἰσίν.
thus they-are-destroyed these(-things) all of-(the)-ones-struggling are
Ἡμεῖς δὲ ποιοῦντες τὴν κατ᾽ ἐνέργειαν ἁμαρτίαν, καὶ ἀεὶ
we but doing the in act sin and always
ἐπεκδικοῦντες τὰ πάθη· οὔτε οἴδαμεν πότε ἀνατέλλουσιν
defending the passions neither know-we when spring-up
οἱ ἐμπαθεῖς λογισμοί, οὐδὲ πότε ἀνακύπτουσι τὰ πάθη,
the passionate thoughts nor when peep-up the passions
ἵνα ἀγωνισώμεθα πρὸς αὐτά· ἀλλὰ κάτω ἐσμὲν ἀκμήν, εἰς
that we-may-struggle against them but down we-are still in
Αἴγυπτον, εἰς τὴν ἐλεεινὴν πλινθοποιίαν τοῦ Φαραώ. Καὶ
Egypt in the pitiable brick-making — of-Pharaoh and
τίς δώσει ἡμῖν κἂν εἰς αἴσθησιν ἐλθεῖν τῆς πικρᾶς δουλείας
who will-give us even to perception to-come of-the bitter slavery
ἡμῶν, ἵνα ταπεινωθῶμεν, καὶ σπουδάσωμεν ἐλεηθῆναι;
our that we-be-humbled and be-eager to-be-pitied
Ὅτε ἦσαν οἱ υἱοὶ Ἰσραὴλ εἰς Αἴγυπτον, καὶ ἐδούλευον τῷ
when were the sons of-Israel in Egypt and served —
Φαραώ, ἐποίουν τὴν πλινθείαν· οἱ δὲ πλινθάριοι ἐργαζόμενοι
Pharaoh they-did the brick-work the and brick-makers working

πάντοτε κάτω εἰσὶ κεκαυμένοι εἰς τὴν γῆν προσέχοντες·
always down are burned to the earth attending
οὕτως καὶ ἡ ψυχὴ ἐὰν κυριευθῇ ὑπὸ τοῦ διαβόλου, καὶ
thus also the soul if it-be-mastered by the devil and
ποιεῖ τὴν κατ᾽ ἐνέργειαν ἁμαρτίαν, καταπατεῖ τὸ φρόνημα
does the in act sin tramples the mind
αὐτῆς, καὶ ποιεῖ αὐτὴν μηδὲν φρονεῖν πνευματικόν, ἀλλὰ
its and makes it nothing to-think spiritual but
πάντοτε τὰ γήϊνα καὶ φρονεῖν καὶ ποιεῖν. Εἶτα
always the earthly(-things) both to-think and to-do then
ᾠκοδόμησαν αὐτῷ ἐκ τῶν πλινθαρίων ὧν εἰργάσαντο,
they-built for-him from the bricks which they-worked
τρεῖς πόλεις ὀχυράς, τὴν Πιθὼ καὶ τὴν Ῥαμεσί, καὶ τὴν Ὼν·
three cities strong — Pithom and — Raamses and — On
ἥ ἐστιν, Ἡλιόπολις. Αὗται δέ εἰσι, φιληδονία, φιλοδοξία
which is Heliopolis these and are love-of-pleasure love-of-glory
καὶ φιλαργυρία, ἐξ ὧν συνίσταται πᾶσα ἁμαρτία. Ὅτε
and love-of-money from which is-composed every sin when
δὲ ἀπέστειλεν ὁ Θεὸς τὸν Μωϋσῆν ἐξαγαγεῖν αὐτοὺς ἐξ
but sent — God — Moses to-lead-out them from
Αἰγύπτου καὶ ἐκ τῆς δουλείας τοῦ Φαραώ, καταβαρύνει
Egypt and from the slavery — of-Pharaoh he-weighs-down
κατ᾽ αὐτῶν τὰ ἔργα, καὶ λέγει αὐτοῖς· Σχολασταί ἐστε,
against them the works and says to-them idlers you-are
σχολάζετε, διὰ τοῦτο λέγετε, Ἀπελθόντες λατρεύσωμεν
you-are-idle because-of this you-say having-gone-off let-us-worship
Κυρίῳ τῷ Θεῷ ἡμῶν. Ὁμοίως καὶ ὁ διάβολος ὅταν
(the)-Lord — God our likewise also the devil when
ἤδη ἐπένευσεν ὁ Θεὸς τοῦ ἐλεῆσαι ψυχὴν καὶ κουφίσαι
already has-nodded — God of-the to-pity (a)-soul and to-lighten
αὐτὴν ἀπὸ τῶν παθῶν διὰ τοῦ Λόγου αὐτοῦ, ἢ διά
it from the passions through the Word his or through

τινος τῶν δούλων αὐτοῦ, τότε καὶ αὐτὸς πλέον βαρεῖ
one of-the servants his then also he more weighs-down
κατ᾽ αὐτῆς τὰ πάθη, καὶ σφοδροτέρως πολεμεῖ αὐτήν.
against her the passions and more-violently wars-against her
Οἱ δὲ Πατέρες τοῦτο εἰδότες, ἐνδυναμοῦσι τὸν ἄνθρωπον 9
the but Fathers this knowing strengthen the man
διὰ τῆς διδασκαλίας αὐτῶν, καὶ οὐκ ἀφιοῦσιν αὐτὸν
through the teaching their and not let him
φοβηθῆναι· ὁ μὲν λέγων· Ἔπεσας; ἀνάστα· καὶ εἰ
to-be-afraid the(-one) indeed saying you-fell rise and if
πάλιν ἔπεσας, ἀνάστα· καὶ πάλιν, καὶ εἰ ἑξῆς. Ἄλλος
again you-fell rise and again and if (it-goes)-on another
δὲ πάλιν λέγει· Ἡ ἰσχὺς τῶν θελόντων κτήσασθαι τὰς
and again says the strength of-the(-ones) wishing to-acquire the
ἀρετάς, τοῦτό ἐστιν, ἵνα ἐὰν πέσωσι, μὴ μικροψυχήσωσιν·
virtues this is that if they-fall not they-be-small-souled
ἀλλὰ πάλιν φροντίσωσι, καὶ ἕκαστος αὐτῶν ἁπλῶς
but again take-thought and each of-them simply
διαφόρως. Ὁ μὲν τοιόσδε παρέχει χεῖρα τοῖς
variously the(-one) indeed such(-a-one) gives (a)-hand to-the(-ones)
them in time always them meditate(-on) and in these(-things)
ἴσθι· καὶ πιστεύω τῷ Θεῷ, ὅτι μέλλεις προκόπτειν. Τὴν
be and I-trust — to-God that you-are-about to-advance the
προσευχὴν σύγκρινε τῇ μελέτῃ· τοὺς ἀσθενεῖς θεράπευε·
prayer combine with-the meditation the sick tend

πρῶτον μέν, ἵνα κτήσῃ ἐκ τούτου συμπάθειαν, ὡς
first indeed that you-may-acquire from this sympathy as
πολλάκις εἶπον, ἔπειτα δέ, ἵνα καὶ σὺ ὅτε δήποτε ἀσθενήσεις,
often I-said then and that also you when ever you-will-be-sick
ἐγείρῃ ὁ Θεὸς τὸν θεραπεύοντά σε. Ἐν ᾧ γὰρ μέτρῳ,
may-raise-up — God the(-one) tending you in which for measure
φησί, μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν. Ἐὰν σπεύσῃς ποιεῖν
he-says you-measure it-shall-be-measured-back to-you if you-hasten to-do
πρᾶγμα μετὰ τῆς συνειδήσεως πρὸς τὴν δύναμίν σου,
(a)-thing with the conscience according-to the power your
εἰδέναι ὀφείλεις καὶ ἑαυτὸν πληροφορεῖν, ὅτι τὴν ἀληθινὴν
to-know you-ought and yourself to-assure that the true
ὁδὸν οὔπω οἶδας, καὶ ὀφείλεις ἀταράχως καὶ ἀθλίπτως
way not-yet you-know and you-ought untroubled and unafflicted
καὶ μετὰ χαρᾶς δέχεσθαι, ὅτε ἀκούσεις, ὅτι ἐσφάλης εἰς
and with joy to-receive(-it) when you-hear that you-erred in
ἐκεῖνο ὃ ἐνόμισας ποιεῖν μετὰ συνειδήσεως. Τῇ γὰρ
that which you-thought to-do with conscience by-the for
κρίσει τῶν συνεταίρων σου, πάντως ἢ τὸ ἀπολειπόμενον
judgment of-the companions your by-all-means either the lacking(-thing)
διορθοῦται, ἢ τὸ καλῶς γινόμενον ἀσφαλέστερον γίνεται.
is-corrected or the well done(-thing) more-secure becomes
Σπούδαζε προκόψαι, ἵνα ἐὰν συμβῇ σοι θλῖψις, ἢ
be-eager to-advance that if befall you affliction either
σωματικῶς ἢ πνευματικῶς, ἀθλίπτως καὶ ἀβαρῶς καὶ μεθ'
bodily or spiritually unafflicted and unburdened and with
ὑπομονῆς δυνηθῇς βαστάσαι. Ἐὰν ἀκούσῃς ὅτι ἐποίησας
patience you-may-be-able to-bear(-it) if you-hear that you-did
πρᾶγμα ὅπερ οὐκ ἐποίησας, μὴ θροηθῇς ὅλως μηδὲ
(a)-thing which not you-did not be-alarmed at-all nor
πυρῇς· ἀλλ' εὐθέως βάλε μετάνοιαν τῷ εἰπόντι
be-inflamed but at-once make prostration to-the(-one) having-said(-it)

σοι, μετὰ ταπεινώσεως λέγων αὐτῷ· Συγχώρησόν μοι,
to-you with humility saying to-him forgive me
καὶ εὖξαι ὑπὲρ ἐμοῦ, καὶ σιώπα μέχρι τούτου· καθὼς
and pray for me and keep-silent up-to this as
καὶ οἱ Πατέρες εἶπον. Ἐὰν δὲ ἐρωτηθεὶς ὑπ' αὐτοῦ, εἰ
also the Fathers said if but asked by him whether
ἀληθές ἐστι τὸ πρᾶγμα, ἢ οὔ, τότε βάλε μετάνοιαν μετὰ
true is the thing or not then make prostration with
ταπεινώσεως, λέγων μετὰ ἀληθείας πῶς ἦν τὸ πρᾶγμα.
humility saying with truth how was the thing
Καὶ μεθ' ὃ λέγειν πάλιν βάλε μετάνοιαν μετὰ
and after which(-time) to-say(-it) again make prostration with
ταπεινώσεως, λέγων, Συγχώρησόν μοι καὶ εὖξαι ὑπὲρ ἐμοῦ.
humility saying forgive me and pray for me

Ἐρώτησις.

question

Τί ποιήσω, ὅτι οὐ τὴν αὐτὴν ἔχω κατάστασιν ἐν τῇ
what shall-I-do that not the same do-I-have state in the
ἀπαντήσει τῶν ἀδελφῶν;
meeting of-the brothers

Ἀπόκρισις.

answer

Τὴν μὲν αὐτὴν κατάστασιν ἐν τῇ ἀπαντήσει τῶν
the indeed same state in the meeting of-the
ἀδελφῶν οὔπω δύνασαι ἔχειν· ἀλλὰ τέως σπούδαζε μὴ
brothers not-yet can-you to-have but meanwhile be-eager not
σκανδαλισθῆναι ἔν τινι, μηδὲ κατακρίνειν τινά, μηδὲ
to-be-scandalized in anything nor to-condemn anyone nor
καταλαλεῖν τινος, μηδὲ προσέχειν λόγῳ, ἢ ἔργῳ, ἢ κινήματι
to-slander anyone nor to-attend-to (a)-word or deed or gesture
ἀδελφῶν μὴ ὠφελοῦντός σε· ἀλλὰ μᾶλλον σπούδαζε ἐν
of-brothers not benefiting you but rather be-eager in

πᾶσιν οἰκοδομεῖν ἑαυτόν, καὶ μὴ θέλε φανητιᾶν ἐν λόγῳ,
all(-things) to-edify yourself and not wish to-show-off in word
ἢ ἔργῳ, καὶ κενοδοξεῖν. Κτῆσαι ἐλευθερίαν εἰς τὴν δίαιταν
or deed and to-be-vainglorious acquire freedom in the diet
σου, καὶ εἰς τὸν λόγον σου, ἕως λεπτοῦ πράγματος. Γίνωσκε
your and in the word your up-to (a)-slight thing know
ὅτι, ἐὰν πολεμῆταί τις, ἢ θλίβεται ὑπό τινος ἐμπαθοῦς
that if be-warred-on someone or be-afflicted by some passionate
λογισμοῦ, καὶ ἐξαγορεύῃ αὐτόν, αὐτὸς ἰσχυροποιεῖ αὐτὸν καθ'
thought and he-declare it he strengthens it against
ἑαυτοῦ· οἱονεὶ δύναμιν παρέχων αὐτῷ εἰς τὸ πλέον πολεμεῖν
himself as-it-were power giving it for the more to-war
καὶ θλίβειν αὐτόν. Ἐὰν δὲ πάλιν ἀγωνίσηται, καὶ ἐναντιωθῇ
and to-afflict him if but again he-struggle and oppose
τῷ λογισμῷ αὐτοῦ, καὶ ἐνεργήσῃ τὰ ἐναντιούμενα
the thought his and work the(-things) opposing
αὐτῷ, καθὼς πολλάκις εἴπομεν, ἐξασθενεῖ τὸ πάθος, καὶ
it as often we-said weakens the passion and
ἀνίσχυρον γίνεται εἰς τὸ πολεμεῖν καὶ θλίβειν αὐτόν· καὶ
powerless becomes for the to-war and to-afflict him and
οὕτως κατὰ μικρὸν ἀγωνιζόμενος, καὶ βοηθούμενος ὑπὸ
thus by little struggling and being-helped by
τοῦ Θεοῦ, περιγίνεται καὶ αὐτοῦ τοῦ πάθους. Ὁ Θεὸς
— God he-overcomes even the-very the passion — God
σκεπάσει ἡμᾶς εὐχαῖς πάντων τῶν ἁγίων. Ἀμήν.
will-protect us by-(the)-prayers of-all the saints amen

Τοῦ αὐτοῦ ῥήματα διάφορα, ἐν συντόμῳ

XIX · VARIOUS SAYINGS IN BRIEF

Short sayings of Dorotheos: one with his own understanding cannot obey; the passionate should not trust their hearts; it is no great thing to pity the afflicted, but great not to judge one who contradicts us. Love is shown, not demanded; every good is preceded or followed by temptation; one with no will of his own always gets his way; and no evil should be done, even in jest.

1 Ὁ ἀββᾶς Δωρόθεος ἔλεγεν ὅτι ἀδύνατόν ἐστι τὸν
the abba Dorotheos said that impossible it-is the(-one)
ἔχοντα ἰδίαν σύνεσιν, ἢ ἴδιον λογισμόν, ὑποταγῆναι καὶ
having own understanding or own thought to-be-subjected and
ἀκολουθῆσαι τὸ καλὸν τοῦ πλησίον.
to-follow the good of-the neighbor
Ἔλεγε πάλιν, ὅτι ἐμπαθεῖς ὄντες, οὐκ ὀφείλομεν ὅλως
he-said again that passionate being not we-ought at-all
πιστεύειν τῇ ἰδίᾳ καρδίᾳ· σκαμβὸς γὰρ κανὼν καὶ τὰ
to-trust the own heart crooked for (a)-rule even the
ὀρθὰ σκαμβὰ ποιεῖ.
straight(-things) crooked makes
Ἔλεγε πάλιν, ὅτι οὐκ ἔστι μέγα τὸ μὴ κρῖναι, ἢ καὶ
he-said again that not is (it)-great the not to-judge or even
συμπαθῆσαι τῷ ἐν θλίψει ὄντι καὶ ὑποπίπτοντί σοι·
to-sympathize with-the(-one) in affliction being and falling-down-before you
μέγα δέ ἐστι τὸ μὴ κρῖναι, ἢ ἀντιπατῆσαι τῷ διὰ πάθος
great but is the not to-judge or to-trample-back the(-one) through passion
ἴδιον ἀντιλέγοντί σοι, μηδὲ συμπεισθῆναι μετὰ τοῦ
own contradicting you nor to-be-persuaded-together with the(-one)
κρίναντος αὐτόν, καὶ τὸ συγχαρῆναι τῷ προτιμωμένῳ σοι.
having-judged him and the to-rejoice-with the(-one) preferred to-you

Ἔλεγε πάλιν, ὅτι ὁ μὴ καταφρονῶν πάσης ὕλης
he-said again that the(-one) not despising all matter
καὶ δόξης, καὶ σωματικῆς ἀναπαύσεως, ἔτι μὴν καὶ τῶν
and glory and bodily rest still indeed even the
δικαιωμάτων, οὐ δύναται κόψαι τὰ θελήματα αὐτοῦ, οὐδὲ
self-justifications not can to-cut-off the wills his nor
ἀπαλλάττεται ὀργῆς καὶ λύπης, οὐδὲ ἀναπαύει τὸν πλησίον.
is-he-freed from-wrath and grief nor refreshes-he the neighbor
Πάλιν εἶπε, Μὴ ἀπαίτει ἀγάπην παρὰ τοῦ πλησίον.
again he-said not demand love from the neighbor
Ὁ γὰρ ἀπαιτῶν ταράσσεται, ἐὰν μὴ ἀπαντήσῃ· ἀλλὰ
the(-one) for demanding is-troubled unless — it-meet(-him) but
μᾶλλον σὺ δεῖξον τὴν ἀγάπην τῷ πλησίον, καὶ ἀναπαύει,
rather you show the love to-the neighbor and you-are-at-rest
καὶ οὕτως φέρεις καὶ τὸν πλησίον εἰς ἀγάπην.
and thus you-bring also the neighbor to love
Πάλιν εἶπεν, ὅτι ἐὰν ποιήσῃ τις πρᾶγμα κατὰ Θεόν,
again he-said that if do someone (a)-thing according-to God
πάντως ἔρχεται αὐτῷ πειρασμός· παντὶ γὰρ ἀγαθῷ, ἢ
by-all-means comes to-him temptation every for good(-thing) either
προηγεῖται, ἢ ἐπακολουθεῖ πειρασμός· οὔτε δὲ βέβαιόν ἐστι
precedes or follows temptation nor and secure is
τὸ κατὰ Θεὸν γινόμενον, εἰ μὴ δοκιμασθῇ διὰ πειρασμοῦ.
the according-to God done(-thing) if not it-be-tested through temptation
Πάλιν εἶπεν· Οὐδὲν οὕτως ποιεῖ ἕνωσιν, ὡς τὸ τοῖς
again he-said nothing so makes union as the in-the
αὐτοῖς χαίρειν, καὶ τὰ αὐτὰ φρονεῖν.
same(-things) to-rejoice and the same(-things) to-think

Πάλιν εἶπε· Τὸ μὴ ἐξουδενῶσαί τινα τὴν χάριν τοῦ
again he-said the not to-despise anyone the grace of-the
πλησίον, ταπεινοφροσύνης ἐστί· δεῖ γὰρ καταδέχεσθαι
neighbor of-humility is (one)-must for to-accept
αὐτὴν μετὰ εὐχαριστείας, κἂν μικρὰ καὶ ἐλαχίστη ἐστίν.
it with thanksgiving even-if small and least it-is
Καὶ πάλιν εἶπεν· Ἐγώ, ἐὰν συμβῇ μοι πρᾶγμα, ἡδέως
and again he-said I if befall me (a)-thing gladly
ἔχω γίνεσθαι γνώμῃ τοῦ πλησίον καὶ ἀσυστροφῆσαι
hold to-come-about by-the-opinion of-the neighbor and to-fail
μετὰ γνώμης αὐτοῦ, ἐὰν ἀπαντήσῃ ἢ καὶ στοιχῆσαι
with (the)-opinion his if it-turn-out than even to-follow
τῇ ἰδίᾳ γνώμῃ καὶ εὐσυστροφῆσαι.
the own opinion and to-succeed
Πάλιν εἶπε, Καλόν ἐστιν ἐν ἑκάστῳ πράγματι τὸ παρὰ
again he-said good it-is in each thing the short-of
μικρὸν τῆς χρείας ἐπιτηδεύειν ἑαυτοῖς. Οὐ γὰρ συμφέρει
little of-the need to-practice for-ourselves not for it-profits
τινὶ κατὰ πάντα ἀναπαῦσαι.
(for)-anyone in all(-things) to-refresh(-himself)
Πάλιν εἶπε, Ἐν παντὶ πράγματι συμβαίνοντί μοι, οὐδέποτε
again he-said in every thing happening to-me never
ἠθέλησα ἀνθρωπίνῃ φρονήσει περιδραμεῖν ἐμαυτῷ· ἀλλ'
did-I-wish by-human prudence to-run-around for-myself but
ἀεὶ ποιῶ μικρὸν τὴν δύναμίν μου, εἰς εἴτι δήποτε,
always I-do (a)-little the power my in whatever ever
καὶ ἀφῶ τὸ πᾶν τῷ Θεῷ.
and leave the all — to-God
Πάλιν εἶπεν· Ὁ μὴ ἔχων ἴδιον θέλημα, πάντοτε τὸ
again he-said the(-one) not having own will always the
ἴδιον ποιεῖ· ἐξώτερον γὰρ ἴδιον οὐκ ἔχει· εἴτι δ' ἂν
own does outside for own(-will) not he-has whatever but —

καὶ γένηται, ἀναπαύει αὐτόν, καὶ εὑρίσκεται πάντοτε τὸ
also comes-about refreshes him and he-is-found always the
ἴδιον ποιῶν. Οὐ γὰρ θέλει τὰ πράγματα γίνεσθαι, ὡς
own doing not for he-wishes the things to-come-about as
θέλει, ἀλλὰ θέλει, ὡς γίνεται.
he-wishes but he-wishes as they-come-about
Πάλιν εἶπεν, Οὐ δεῖ τινα ἐν αὐτῷ τῷ καιρῷ ἐν ᾧ
again he-said not must anyone in the-very the time in which
ἁμαρτάνει ὁ ἀδελφός, κατ᾽ αὐτοῦ διορθῶσαι αὐτόν, ἀλλ᾽
sins the brother against him to-correct him but
οὐδὲ ἐν ἄλλῳ καιρῷ χάριν τῆς ἰδίας ἐκδικήσεως.
not-even in another time for-the-sake of-the own vengeance
Ἔλεγε πάλιν, ὅτι ἡ κατὰ Θεὸν ἀγάπη δυνατωτέρα
he-said again that the according-to God love stronger
ἐστὶ καὶ τῆς φυσικῆς.
is even than-the natural(-love)
Ἔλεγε πάλιν, Μηδὲ ἐν γελοίῳ τὸ κακόν. Συμβαίνει,
he-said again not-even in jest the evil it-happens
ὅτι ἐξ ἀρχῆς μὲν ποιεῖ τις κακὸν μετὰ γέλωτος·
that from (the)-beginning indeed does someone evil with laughter
ὕστερον δὲ καὶ μὴ θέλων πήγνυται εἰς αὐτό.
later but even not willing he-is-fixed in it
Ἔλεγε πάλιν, ὅτι οὐ δεῖ θελῆσαί τινα ἀπαλλαγῆναι
he-said again that not must to-wish anyone to-be-freed
πάθους, ὡς θέλων φυγεῖν τὴν θλίψιν αὐτοῦ· ἀλλὰ ἀκριβῶς
from-passion as wishing to-flee the affliction its but exactly
μισοῦντα αὐτό, ὡς λέγει, Τέλειον μῖσος ἐμίσουν αὐτούς,
hating it as it-says with-perfect hatred I-hated them
εἰς ἐχθροὺς ἐγένοντό μοι.
as enemies they-became to-me

Ἔλεγε πάλιν, ὅτι ἀδύνατόν ἐστιν ὀργισθῆναί τινα κατὰ τοῦ
he-said again that impossible it-is to-be-angered someone against the
πλησίον, εἰ μὴ πρῶτον ἐπαρθῇ ἡ καρδία αὐτοῦ κατ᾽ αὐτοῦ,
neighbor if not first be-lifted-up the heart his against him
καὶ ἐξουδενώσει αὐτόν, καὶ ἔχει ἑαυτὸν ὑπερέχοντα αὐτοῦ.
and he-despise him and hold himself superior to-him
Ἔλεγε πάλιν, Σημεῖόν ἐστιν ὅτι ἑκουσίως ἐνεργεῖ τις
he-said again (a)-sign it-is that willingly works someone
πάθος, ὅτε ἐλεγχόμενος, ἢ διορθούμενος περὶ αὐτοῦ
(a)-passion when being-reproved or corrected about it
ταράσσεται. Τὸ δὲ ἀταράχως βαστάζειν τὸν περὶ αὐτοῦ
he-is-troubled the but untroubled to-bear the about it
ἔλεγχον, ἤγουν διόρθωσιν, σημεῖόν ἐστιν, ὅτι ἡττώμενος
reproof or correction (a)-sign is that being-defeated
ἢ ἀγνοῶν ἐνήργησεν αὐτό.
or not-knowing he-worked it

Τοῦ ἁγίου ἐπιστολὴ πρὸς ἀδελφὸν ἐπερωτήσαντα αὐτὸν περὶ ἀναισθησίας ψυχῆς, καὶ περὶ ψύξεως ἀγάπης

XX · LETTER ON INSENSIBILITY AND THE COOLING OF LOVE

Dorotheos recommends constant reading and the remembrance of death against the soul's insensibility; weak love for the brothers comes from accepting suspicious thoughts, and he should pray for those who wrong him.

1 Περὶ τῆς ἀναισθησίας τῆς ψυχῆς, ἀδελφέ, συνεχὴς
about the insensibility of-the soul brother continual
ἀνάγνωσις τῶν θείων Γραφῶν συμβάλλεται μετὰ
reading of-the divine Scriptures contributes with
κατανυκτικῶν λογίων, τῶν θεοφόρων Πατρῶν, καὶ ἡ
compunctionate sayings of-the God-bearing Fathers and the

μνήμη τῶν φοβερῶν κριμάτων τοῦ Θεοῦ, καὶ τῆς ἐξόδου
memory of-the fearful judgments — of-God and of-the departure
τῆς ψυχῆς ἀπὸ τοῦ σώματος, καὶ τῶν μελλουσῶν
of-the soul from the body and of-the about
ἀπαντᾷν αὐτῇ φοβερῶν δυνάμεων, μεθ' ὧν ἔπραξε τὴν
to-meet her fearful powers with whom she-did the
πονηρίαν ἐν τῇ ὀλιγοχρονίᾳ καὶ ἐλεεινῇ ζωῇ ταύτῃ. Ἔτι
wickedness in the short-lived and pitiable life this further
δὲ καὶ τοῦ μέλλειν παραστῆναι τῷ φρικτῷ καὶ ἀδεκάστῳ
and also of-the to-be-about to-stand-before the dreadful and incorruptible
βήματι τοῦ Χριστοῦ, καὶ μὴ μόνον περὶ πράξεων, ἀλλὰ
tribunal — of-Christ and not only about deeds but
καὶ λόγων καὶ ἐννοιῶν ἀπαιτεῖσθαι λόγον ἐνώπιον τοῦ
also of-words and thoughts to-be-required (an)-account before —
Θεοῦ, καὶ πάντων τῶν ἀγγέλων αὐτοῦ, καὶ πάσης ἁπλῶς
God and all the angels his and all simply
τῆς κτίσεως. Μνημόνευε δὲ συνεχῶς καὶ τῆς ἀποφάσεως
the creation remember and continually also the sentence
ἐκείνης, ἣν ἐρεῖ ὁ φοβερὸς καὶ δίκαιος Κριτὴς τοῖς
that which will-say the fearful and just Judge to-the(-ones)
εὐωνύμοις· Ἀπέλθατε ἀπ' ἐμοῦ, οἱ κατηραμένοι, εἰς τὸ πῦρ
on-the-left depart from me the cursed(-ones) into the fire
τὸ αἰώνιον, τὸ ἡτοιμασμένον καὶ τῷ διαβόλῳ καὶ τοῖς
the eternal the(-one) prepared also for-the devil and the
ἀγγέλοις αὐτοῦ. Καλὸν δὲ καὶ τῶν μεγάλων θλίψεων τῶν
angels his good and also the great afflictions the
ἀνθρωπίνων μνημονεύειν· μόλις γὰρ οὕτως ἵνα ἡ σκληρὰ
human(-ones) to-remember hardly for thus that the hard
καὶ ἀναίσθητος μαλαχθῇ ψυχή, καὶ εἰς αἴσθησιν ἔλθῃ τῆς
and insensible be-softened soul and to perception come of-the
ἰδίας αὐτῆς κακῆς καταστάσεως. Τὸ δὲ ἀσθενεῖν περὶ
own its evil state the and to-be-weak about

τὴν ἀγάπην τῶν ἀδελφῶν, ἐκ τοῦ δέχεσθαί σε τοὺς ἐξ
the love of-the brothers from the to-receive you the from
ὑποψίας λογισμοὺς καὶ πιστεύειν τῇ ἰδίᾳ καρδίᾳ, γίνεταί
suspicion thoughts and to-trust the own heart comes-about
σοι, καὶ ἐκ τοῦ μηδὲν θέλειν πάσχειν κατὰ προαίρεσιν.
to-you and from the nothing to-wish to-suffer against (your)-choice
Θέλεις οὖν βοηθούμενος ὑπὸ τοῦ Θεοῦ; Προηγουμένως μὴ
do-you-wish then being-helped by — God first not
πιστεύειν ὅλως ταῖς ἰδίαις ὑπονοίαις, καὶ πάσῃ δυνάμει
to-trust at-all the own suspicions and with-all power
σπουδάζειν ταπεινοῦσθαι τοῖς ἀδελφοῖς, κόπτειν αὐτοῖς τὸ
to-be-eager to-be-humbled to-the brothers to-cut-off for-them the
ἴδιον θέλημα· ἐὰν ὑβρίσῃ σέ τις αὐτῶν, ἢ ἄλλως θλίψῃ,
own will if insult you someone of-them or otherwise afflict(-you)
ὑπερεύχου αὐτῷ, ὡς εἶπον οἱ Πάτρες, ὡς μεγάλα σε
pray-for him as said the Fathers as greatly you
εὐεργετοῦντι, ὡς ἰατρῷ τῆς φιληδονίας σου. Ἐκ τούτου
benefiting as (a)-physician of-the love-of-pleasure your from this
ὁ θυμός σου μειοῦται, εἴγε κατὰ τοὺς ἁγίους Πατέρας
the anger your is-lessened if-indeed according-to the holy Fathers
θυμοῦ χαλινὸς ἡ ἀγάπη· πρὸ δὲ πάντων παρακάλει τὸν
of-anger (the)-bridle (is)-the love before but all beseech —
Θεὸν δοῦναί σοι νῆψιν καὶ σύνεσιν τοῦ εἰδέναι τί τὸ
God to-give you watchfulness and understanding of-the to-know what (is)-the
θέλημα αὐτοῦ τὸ ἀγαθόν, καὶ εὐάρεστον καὶ τέλειον, ἔτι δὲ
will his the good and well-pleasing and perfect further and
καὶ δύναμιν εἰς τὸ καταρτισθῆναι πρὸς πᾶν ἔργον ἀγαθόν.
also power for the to-be-equipped for every work good

Πρὸς τὸν μέγαν γέροντα, τὸν ἅγιον Βαρσανούφιον, καὶ πρὸς τὸν αὐτοῦ μαθητήν, τὸν ἀββᾶν Ἰωάννην, τὸν ἐπικληθέντα Προφήτην, διὰ τὸ διορατικὸν χάρισμα, ὃ εἶχε παρὰ τοῦ Θεοῦ

XXI · QUESTIONS TO BARSANUPHIUS AND JOHN

Dorotheos asks the great elders how to cut off forwardness, keep mourning, bear dishonor, and guard his eyes. They answer that bearing dishonor pays a debt and that one should obey in everything and leave idle talk with gentleness.

Ἐρώτησις. 1

question

Πῶς δυνήσομαι ἐκκόψαι παῤῥησίαν, καὶ κρατῆσαι τῆς γλώσσης μου;

how shall-I-be-able to-cut-out forwardness and to-master the tongue my

Ἀπόκρισις.

answer

Διὰ πένθους.

through mourning

Ἐρώτησις.

question

Καὶ πῶς δύναμαι εἰσερχόμενος καὶ ἐξερχόμενος μεταξὺ ἀνθρώπων, καὶ ποιῶν ὑπηρεσίας, φυλάξαι τὸ πένθος; καὶ εἴ ἐστι πένθος ἄνευ δακρύων.

and how can-I going-in and going-out among men and doing services to-keep the mourning and whether there-is mourning without tears

Ἀπόκρισις.

answer

Οὐ τὸ πένθος διὰ δακρύων, ἀλλὰ τὰ δάκρυα διὰ
not the mourning (comes)-through tears but the tears through
τοῦ πένθους. Ὁ δὲ μεταξὺ ἀνθρώπων, ἐὰν κόπτῃ
the mourning the(-one) but among men if he-cut-off
τὸ ἴδιον θέλημα, καὶ μὴ προσέχῃ πταίσμασιν ἀνθρώπων,
the own will and not attend to-(the)-faults of-men
οὗτος κτᾶται τὸ πένθος. Ἐκ τούτου γὰρ συνάγονται
this(-man) acquires the mourning from this for are-gathered
οἱ λογισμοὶ αὐτοῦ, καὶ οὗτοι συναγόμενοι γεννῶσι τὴν
the thoughts his and these being-gathered beget the
κατὰ Θεὸν λύπην ἐν τῇ καρδίᾳ, ἡ λύπη τὰ δάκρυα.
according-to God grief in the heart the grief the tears

Ἐρώτησις.

question

Τὸ ὑπενεγκεῖν ἀτιμίαν, τί συμβάλλεται πρὸς ἡσυχίαν;
the to-bear dishonor what does-it-contribute toward stillness

Ἀπόκρισις.

answer

Ὁ χρεώστης τῶν ἀνθρώπων, ἐὰν μὴ ἀποδῷ τὸ χρέος, ὅπου
the debtor of-the men unless — he-pay the debt wherever
δ' ἂν ἀπέλθῃ, χρεώστης ἐστί, καὶ οὐκ ἔχει ἐλευθερίαν που
but — he-go (a)-debtor he-is and not he-has freedom anywhere
καθίσαι μετὰ ἀναπαύσεως. Ἐὰν δὲ πρῶτον κοπιάσῃ ἀπὸ τῶν
to-sit with rest if but first he-toil from the
ὀνειδισμῶν τῶν ἀνθρώπων, αἰσχύνεται, καὶ τότε ἀποδίδωσι
reproaches of-the men he-is-ashamed and then pays
τὸ χρέος. Καὶ ὅτε ἐλευθεροῦται, τότε μετὰ θάρσους καὶ
the debt and when he-is-freed then with confidence and
πολλῆς παῤῥησίας δύναται δημοσιεῦσαι, καὶ καθίσαι ὅπου
much frankness he-can to-appear-in-public and to-sit where

θέλει. Οὕτως ὁ ἄνθρωπος, ἐὰν ποιήσει τὴν δύναμιν αὐτοῦ
he-wishes thus the man if he-do the power his
βαστάσαι ὕβρεις, ἀτιμίας, ζημίας, διὰ τὰς πεπραγμένας
to-bear insults dishonors losses for the done
αὐτῷ ἁμαρτίας, ταπείνωσιν μανθάνει, καὶ τὸν κόπον, καὶ
by-him sins humility he-learns and the toil and
συγχωροῦνται διὰ τούτων αἱ ἁμαρτίαι αὐτοῦ, κατὰ
are-forgiven through these(-things) the sins his according-to
τὸ γεγραμμένον· Ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον
the(-thing) written see the humility my and the toil
μου· καὶ τὰ ἑξῆς· κατανόησον δὲ πρὸς τοῦ σταυροῦ,
my and the following(-words) consider and before the cross
πόσας ὕβρεις καὶ ὀνειδισμοὺς ὑπέμεινεν ὁ Δεσπότης ἡμῶν
how-many insults and reproaches endured the Master our
Χριστός, καὶ μετὰ ταῦτα ἦλθεν εἰς τὸν σταυρόν. Οὕτως,
Christ and after these(-things) he-came to the cross thus
οὐδεὶς εἰς ἡσυχίαν τελείαν ἔγκαρπον, καὶ εἰς κατάπαυσιν
no-one into stillness perfect fruitful and into rest
ἁγίαν τῆς τελειότητος δύναται ἐλθεῖν, ἐὰν μὴ πρῶτον
holy of-the perfection can to-come unless — first
συμπάθῃ τῷ Χριστῷ, καὶ ὑπενέγκῃ ὅλα τὰ παθήματα αὐτοῦ,
he-suffer-with — Christ and bear all the sufferings his
μνημονεύων τοῦ Ἀποστόλου λέγοντος, ὅτι Ἐὰν συμπάσχωμεν
remembering the Apostle saying that if we-suffer-with
αὐτῷ, καὶ συνδοξαζόμεθα αὐτῷ. Μὴ οὖν πλανηθῇς· ἄλλη γὰρ
him also we-are-glorified-with him not then be-deceived other for
ὁδὸς σωτηρίας οὐκ ἔστι, πλὴν ταύτης. Ὁ Κύριος συνέλθοι
way of-salvation not is but this the Lord may-come-with
σοι κατὰ τὰ θελήματα αὐτοῦ, ἵνα καλῶς θεμελιώσῃ
you according-to the wills his that well he-may-found
σου τὴν οἰκοδομὴν ἐπὶ τὴν πέτραν, ἥτις ἐστὶν ὁ Χριστός.
your the building upon the rock which is — Christ

Ἐρώτησις.

question

Ποία ὁδὸς σώζει μᾶλλον, ἢ διὰ τῶν κόπων, ἢ ἡ
what way saves rather the(-one) through the toils or the(-one)
διὰ τῆς ταπεινώσεως; εἰπέ μοι, δέσποτα· καὶ περὶ τῆς
through the humility tell me master and about the
λήθης, καὶ σχέσεως πρός τινας, καὶ φυλακῆς ὀφθαλμῶν;
forgetfulness and attachment toward some and (the)-guarding of-(the)-eyes

Ἀπόκρισις.

answer

Ὁ κόπος ὁ ἀληθινὸς οὐκ ἔστιν ἐκτὸς ταπεινώσεως.
the toil the true not is apart-from humility
Ὁ γὰρ καθ' ἑαυτὸν κόπος εἰς μάτην ἐστί, καὶ εἰς οὐδὲν
the for by itself (the)-toil in vain is and for nothing
λογίζεται. Φησὶ γάρ· Ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν
is-reckoned he-says for see the humility my and the
κόπον μου, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου. Ὁ
toil my and forgive all the sins my the(-one)
οὖν ἔχων ταύτην, διὰ τάχους φθάνει, καὶ ὁ ἔχων
then having this(-humility) through speed arrives and the(-one) having
ταπείνωσιν ὁμοῦ ἐξουδενώσεως, καὶ αὐτὸς τὸ ὅμοιον ἔχει.
humility together of-despising also he the like has
Ἡ ἐξουδένωσις τὸν τόπον ἐπέχει τοῦ κόπου· ὁ δὲ ἔχων
the despising the place holds of-the toil the(-one) but having
τὴν ταπείνωσιν καθ' ἑαυτόν, εἰσέρχεται μέν, βραδυτέρως
the humility by itself enters indeed more-slowly
δέ. Εἴτις δὲ θέλει κρατῆσαι τὴν ἀληθινὴν ταπείνωσιν,
but(-enters) if-anyone and wishes to-hold-fast the true humility
μὴ ψηφίσῃ ἑαυτὸν ἔν τινι πράγματι ὅλως, καὶ αὕτη ἐστὶν
not let-him-reckon himself in any thing at-all and this is
ἡ ἀληθινὴ ταπείνωσις. Ὁ δεχόμενος τὸ πῦρ ὃ ἦλθεν
the true humility the(-one) receiving the fire which came

ὁ Κύριος βαλεῖν ἐπὶ τὴν γῆν, λήθην καὶ αἰχμαλωσίαν οὐ
the Lord to-cast upon the earth forgetfulness and captivity not
δέχεται, ἔχων πάντοτε τὴν αἴσθησιν τοῦ πυρός. Λάβε οὖν
receives having always the perception of-the fire take then
ὑπόδειγμα· Ἐὰν εὑρεθῇ ἄνθρωπος εἰς τὸ ἀποθανεῖν, καὶ
(an)-example if be-found (a)-man at the to-die and
προσεγγίσῃ αὐτῷ πῦρ, εὐθέως αἰσθάνεται ἀπὸ τοῦ πόνου·
come-near to-him fire at-once he-perceives from the pain
καὶ εἰς οἷον δήποτε πρᾶγμα ἐὰν αἰχμαλωτισθῇ ἄνθρωπος,
and in any whatever thing if be-taken-captive (a)-man
ἐπιπέσῃ δὲ ἐπ᾽ αὐτὸν ἄνθραξ πυρός. Οὐδὲ θίξειν μένει
fall and upon him (a)-coal of-fire not-even touching remains
ἐν τῇ αἰχμαλωσίᾳ τὸ πῦρ, ἀδελφέ, ἀλλὰ σβέννυται· ἐπεὶ
in the captivity the fire brother but is-quenched since
οὐδὲ πῦρ ἐστι λοιπόν. Εἰ ἀπαλλαγῆναι θέλεις καὶ τῆς
not-even fire is-it henceforth if to-be-freed you-wish also from-the
αἰχμαλωσίας, ἄλλως οὐ δύνασαι, ἐὰν μὴ κτήσῃ ἑαυτῷ
captivity otherwise not you-can unless — you-acquire for-yourself
τὸ πνευματικὸν τοῦτο πῦρ· ἀπὸ γὰρ τῆς αὐτοῦ θερμότητος
the spiritual this fire from for the its warmth
ἐκεῖνα ἀφανίζονται· κτᾶται δέ τις τὸ πῦρ τοῦτο, τῷ
those(-things) vanish acquires and someone the fire this by-the
κατὰ Θεὸν πόθῳ. Τὸ δὲ μὴ πάνυ φιλίαν ἔχειν πρός
according-to God longing the and not very friendship to-have toward
τινα συνηλικιώτην, καλόν ἐστιν· ἡ δὲ τοιαύτη συνήθεια
some contemporary good is the but such familiarity
οὐκ ἀφίησιν ἐλθεῖν τὸ πένθος. Μηδὲ πρὸς ἄλλον τινὰ
not lets to-come the mourning nor toward other anyone
ἀφαιροῦντα ἀπὸ σοῦ τὸ πένθος, ἔχε φιλίαν· οὐ γὰρ ὠφελεῖ
taking-away from you the mourning have friendship not for does-it-benefit
σε, ἀλλὰ μᾶλλον καὶ βλάπτει. Οὐδεὶς δύναται κτήσασθαί
you but rather even harms(-you) no-one can to-acquire

τι ἀγαθόν, εἰ μὴ ἐν πολλῷ κόπῳ. Παίδευσον οὖν τοὺς
anything good except — in much toil train then the
ὀφθαλμούς σου τοῦ μὴ βλέπειν τινί, καὶ οὐ πληροῦσί σου
eyes your of-the not to-look at-anyone and not they-fill your
τὴν καρδίαν τῆς δεινῆς παῤῥησίας, εἰς ἀπώλειαν φερούσης
the heart with-the terrible forwardness to perdition bringing
ὅλως τοὺς κόπους τοῦ μοναχοῦ. Εἰ ταῦτα πάντα, ἀδελφέ,
wholly the toils of-the monk if these(-things) all brother
ἐὰν μὴ ποιήσῃ ἡ καρδία, νύκτα καὶ ἡμέραν ζητοῦσα τὸν
unless — do the heart night and day seeking the
Κύριον, προκόψαι ἄνθρωπος οὐ δύναται. Ἐὰν σχολάσῃς
Lord to-advance (a)-man not can if you-be-at-leisure
ἐν τούτοις, ἔρχῃ εἰς αὐτά· φησὶ γάρ· Σχολάσατε, καὶ
in these(-things) you-come to them he-says for be-at-leisure and
τὰ ἑξῆς. Δῴη σοι Κύριος τοῦ συνιέναι ταῦτα.
the following(-words) may-he-give you (the)-Lord of-the to-understand these(-things)

Ἐρώτησις.

question

Τί ἐστιν ἡ ἐξουδένωσις παρὰ τὴν ταπείνωσιν; Καὶ τί πάλιν
what is the despising beside the humility and what again
ἡ συντριβὴ τῆς καρδίας; Καὶ εἰ κτᾶταί τις ἐξουδένωσιν,
the contrition of-the heart and if acquires someone despising
αὐτὸς ἑαυτὸν ἐν τῇ καρδίᾳ ταπεινῶν, ἡ χρεία καὶ τῶν
himself himself in the heart humbling(-whether) the need also of-the
ἔξωθεν ἀπὸ τῶν ἀνθρώπων ὀνειδισμῶν καὶ ὕβρεων, καὶ
outward from the men reproaches and insults and
εὐτελεστέρων δὲ πράξεων; Ἔτι, εἰ ὀφείλει ὁ ταπεινόφρων
cheaper too deeds further whether ought the humble-minded
πράγματα ἐπιτηδεύειν ταπεινά, ἢ καὶ ταπεινολογεῖν;
things to-practice humble or also to-speak-humbly

Ἀπόκρισις.

answer

Ἡ ἐξουδένωσις δύο τρόπους ἔχει, ἕνα τὸν ἀπὸ καρδίας, καὶ

the despising two ways has one the(-one) from (the)-heart and

ἕτερον τὸν ἀπὸ τῶν ἀνθρώπων ἐπιφερόμενον. Μείζων δέ

other the(-one) from the men brought-on greater and

ἐστιν ἡ ἀπὸ τῶν ἀνθρώπων ἐξουδένωσις τῆς ἀπὸ

is the(-one) from the men despising than-the(-one) from

καρδίας. Οὐ γὰρ πάνυ ἔχει κόπον ἡ ἀπὸ τῆς καρδίας,

(the)-heart not for very has toil the(-one) from the heart

ὅσον ἡ ἀπὸ τῶν ἀνθρώπων. Πάνυ γὰρ πονεῖ ἡ

as-much-as the(-one) from the men very for labors the

καρδία, εἰς τὴν ἔξωθεν ἐπιφερομένην. τὸ δὲ τρέχειν ἀφ᾽

heart at the(-one) from-outside brought-on the but to-run of

ἑαυτοῦ εἰς τὰς εὐτελεῖς πράξεις, οὐ φέρει τινὰ εἰς προκοπήν,

himself to the cheap deeds not brings anyone to progress

τάχα δὲ μᾶλλον εἰς κενοδοξίαν· ἀλλὰ τὸ κελευσθῆναι καὶ

perhaps but rather to vainglory but the to-be-ordered and

μὴ ἀντιλέξαι, ἀλλὰ ποιεῖν μετὰ ὑπακοῆς, τοῦτο γίνεται εἰς

not to-contradict but to-do(-it) with obedience this becomes for

προκοπήν, καὶ τὸ κτήσασθαι ἐξουδένωσιν. Ἡ συντριβὴ τῆς

progress and the to-acquire despising the contrition of-the

καρδίας ἐστί, τὸ μὴ ἐᾶσαι αὐτὴν ῥέμβεσθαι μετὰ ἀλλοτρίων

heart is the not to-let it to-wander with alien

λογισμῶν. Ἡ ταπείνωσίς ἐστι, τὸ μὴ ψηφίζειν ἑαυτὸν ἔν τινι

thoughts the humility is the not to-reckon oneself in any

πράγματι ὅλως, καὶ τὸ κόψαι τὸ ἴδιον θέλημα κατὰ πάντα·

thing at-all and the to-cut-off the own will in all(-things)

ὥστε τὸ ὑποταγῆναι πᾶσι, καὶ βαστάσαι ἀταράχως τὰ

so-that the to-be-subject to-all and to-bear untroubled the(-things)

ἐπερχόμενα ὑπὸ ἄλλων, τοῦτό ἐστιν ἡ ἀληθινὴ ταπείνωσις·
coming-on from others this is the true humility
εἰς ἣν οὐχ εὑρίσκει ἐν αὐτῇ χώραν ἡ κενοδοξία.
in which not finds in it room the vainglory
Τὸ δὲ ταπεινολογεῖν, κενοδοξίαν φέρει, καὶ κακὸν μᾶλλόν
the but to-speak-humbly vainglory brings and evil rather
ἐστιν, ἢ ὠφέλιμον· ἀλλὰ ἀρκεῖ λέγειν, Συγχώρησον, καὶ
is than profitable but it-suffices to-say forgive(-me) and
εὖξαι ὑπὲρ ἐμοῦ.
pray for me

Ἐρώτησις.
question

Εἰ ἐν τοῖς καλοῖς, ἢ ἐν τοῖς μέσοις δεῖ κόπτειν
whether in the good(-things) or in the middle(-things) (one)-must to-cut-off
τὸ θέλημα, ἢ καὶ ἐν οἷς παράβασις φθάνει ἐντολῆς;
the will or also in which transgression comes-in of-(a)-commandment
Καὶ ὑπὲρ τὴν κατάστασίν μου ἐὰν εὑρεθῇ ἐπιταγή,
and beyond the state my if be-found (an)-order
εἰ ὀφείλω παραιτήσασθαι, ἵνα μὴ λύπην καὶ ταραχὴν
whether I-ought to-decline(-it) that not grief and trouble
ὕστερον ἐνέγκοιμι; Ἔτι δὲ ἐάν τις εὑρεθῇ χρείαν ἔχων
later I-may-bring further and if someone be-found need having
πρὸς τὸν ἀββᾶν, ἵνα αἰτήσῃ τι αὐτόν, καὶ εἴπῃ
toward the abba that he-ask something (of)-him and tell
μοι βοηθῆναι αὐτῷ εἰς τὸ πρᾶγμα, εἰ ἀνάσχωμαι, εἰ
me to-help him in the thing whether I-should-bear(-it) if
μὴ φέρει μοι τιμήν, ὅτι ὅλως ψηφίζομαι; Ἔτι δὲ ἐὰν
not it-brings me honor that at-all I-am-reckoned further and if
αἰτήσῃ μέ τις ποιῆσαι εὐχήν, θελήσω βαλεῖν χεῖρα
ask me someone to-make (a)-prayer shall-I-wish to-put (a)-hand

καὶ βοηθῆσαί τινι; Μέχρι τίνος δεῖ παραιτήσασθαι
and to-help someone up-to what (one)-must to-decline
ἢ φιλονεικεῖν ἔνθα ἐστὶ παράβασις ἐντολῆς;
or to-contend where is transgression of-(a)-commandment
Ἀπόκρισις.
answer
Ἀδελφέ, ὁ θέλων εἶναι, οὐκ ὀφείλει ὅλως θέλημα
brother the(-one) wishing to-be(-saved) not ought at-all (a)-will
ἔχειν ἔν τινι πράγματι, καὶ τοῦτο διδάσκων ὁ Κύριος
to-have in any thing and this teaching the Lord
εἶπεν· Ἦλθον εἰς τὸν κόσμον, οὐ τὸ ἐμὸν θέλημα ποιῆσαι·
said I-came into the world not the my will to-do
καὶ τὰ ἑξῆς. Ὁ θέλων γὰρ τόδε ποιεῖν καὶ
and the following(-words) the(-one) wishing for this to-do and
τόδε δι' ἃ παραιτεῖται, ἢ διακριτικώτερον ἑαυτὸν
this for which(-things) he-declines either more-discerning himself
δείκνυσι τοῦ ἐπιτάσσοντος αὐτῷ, ἢ ὑπὸ δαιμόνων
shows than-the(-one) ordering him or by demons
χλευάζεται· ἅπερ ἀμφότερα κακὰ καὶ δαιμονιώδη· ὥστε
is-mocked which both (are)-evil and demonic so-that
ἐν πᾶσιν ὀφείλεις ὑπακούειν. Ὁ γὰρ ἐπιτάσσων ἀββᾶς
in all(-things) you-ought to-obey the(-one) for ordering abba
σου, βαστάζει σου τὸ κρίμα, ὡς ἀπαιτούμενος λόγον
your bears your the judgment as required (an)-account
ὑπὲρ σοῦ. Ἐὰν φαίνηταί σοι βαρὺ τὸ ἐπιτασσόμενον,
for you if seem to-you heavy the(-thing) ordered
αὐτὸν ἐρώτησον, καὶ τῇ αὐτοῦ διακρίσει ἄφες τὸ πρᾶγμα.
him ask and to-the his discernment leave the thing
Ἐὰν δὲ ἀδελφοὶ ὦσιν οἱ ἐπιτάξαντες, καὶ βλέπεις ἢ
if but brothers be the(-ones) having-ordered(-it) and you-see or
νομίζεις ὅτι βλάβην ἔχει τὸ πρᾶγμα, ἢ ὑπὲρ τὴν δύναμίν
think that harm has the thing or beyond the power

σου, πάλιν τὸν ἀββᾶν ἐρώτησον, καὶ ἃ λέγει σοι,
your again the abba ask and what he-says to-you
ποίησον· ἂν γὰρ θέλεις οὐ μόνον τὰ πράγματα, ἀλλὰ
do if for you-wish not only the things but
καὶ τοὺς ἀνθρώπους διακρίνειν, θλῖψιν σεαυτῷ ἐπισπάσεις.
also the men to-discern affliction on-yourself you-will-draw
Ἀλλ' ὅπου δοκεῖ καλὸν εἶναι τὸ πρᾶγμα, ἐκεῖ δεῖξον τὴν
but where seems good to-be the thing there show the
ὑπακοὴν τοῖς ἀδελφοῖς· ὅπου δὲ διστάζει ὁ λογισμός, ἢ
obedience to-the brothers where but hesitates the thought or
ὑπὲρ τὴν δύναμίν σού ἐστιν, ἢ ἔχον βλάβην, ἀνάθου τῷ
beyond the power your it-is or having harm refer(-it) to-the
ἀββᾷ σου, καὶ ὃ διακρίνει, ποίησον. Αὐτὸς γὰρ οἶδε τί
abba your and what he-discerns do he for knows what
ποιεῖ, καὶ πῶς φροντίζει σου τῆς ψυχῆς, καὶ ἀναπαύου.
he-does and how he-cares-for your the soul and be-at-rest
Πίστευε οὖν ὅτι, εἴ τι λέγει σοι, κατὰ Θεόν ἐστι·
believe then that if anything he-says to-you according-to God it-is
πᾶν δὲ τὸ κατὰ Θεόν, ὠφέλιμόν ἐστι, καὶ λύπην
all and the(-thing) according-to God profitable is and grief
ἢ ταραχὴν οὐ φέρει. Ἐκ γὰρ τοῦ ἀγαθοῦ οὐδὲν κακὸν
or trouble not brings from for the good nothing evil
ἐξέρχεται· Πᾶν γὰρ δένδρον καλὸν καρποὺς καλοὺς ποιεῖ.
comes-out every for tree good fruits good makes
Περὶ δὲ τοῦ δεηθῆναί σού τινα πρὸς τὸν ἀββᾶν, ποίησον
about but of-the to-beseech you someone (to-go)-to the abba do(-it)
ὡς ἐντολὴν πληρῶν ἣν ἤκουσας παρὰ τοῦ ἀββᾶ
as (a)-commandment fulfilling which you-heard from the abba
ποιῆσαι. Ἐὰν γὰρ καθίσῃ σε εἰς τὴν θυρωρείαν λέγων,
to-do if for he-set you at the door-keeping saying
Μήνυσόν μοι πάντα ἄνθρωπον ἐρχόμενον, ἐφ' ἑαυτοῦ
announce to-me every man coming on your-own

σαυτὸν ψηφίζεις, ἢ κέλευσιν ἐκπληροῖς. Ἐὰν εἴπῃ ὁ ἀββᾶς
yourself do-you-reckon or (an)-order do-you-fulfill if say the abba
εἰπεῖν αὐτῷ, ἢ μὴ εἰπεῖν, σὺ πρᾶγμα οὐκ ἔχεις. Περὶ δὲ
to-tell him or not to-tell you business not have about but
τοῦ, ἐὰν εἰσέλθῃς εἰς κελλίον ἀδελφοῦ, ἢ αὐτὸς ἐὰν εἴπῃ
the if you-enter into (the)-cell of-(a)-brother or he if he-tell
σοι εὔξασθαι ἕως τρίτου, εἰπέ· Συγχώρησον, καὶ ἐὰν
you to-pray up-to (the)-third(-time) say forgive(-me) and if
μετὰ τρίτον ἐμμείνῃ, τότε ποίησον μετὰ ταπεινώσεως·
after (the)-third he-persist then do(-it) with humility
καὶ σὺ τρίτως εἰπέ τινι, κἂν μὴ θελήσῃ, παῦσαι μετ'
and you three-times tell someone even-if not he-wish stop with
εἰρήνης, καὶ μὴ θλίψῃς αὐτόν. Καὶ αὕτη ἐστὶν ἡ ἀληθινὴ
peace and not afflict him and this is the true
ὁδὸς τοῦ Θεοῦ, ἐν ᾗ πρόσεχε σεαυτῷ ἐργάσασθαι
way — of-God in which attend to-yourself to-work
ἀνυποκρίτως, ἐν καθαρᾷ καρδίᾳ, τοῦ Θεοῦ διδόντος σοι
unhypocritically in (a)-pure heart — God giving you
χεῖρα, καὶ βοηθοῦντος διὰ τῆς χάριτος αὐτοῦ.
(a)-hand and helping through the grace his

Ἐρώτησις.
question

Εἰ δεῖ συγκαταβαίνειν τῷ σώματι περὶ τὴν δίαιταν,
whether (one)-must to-condescend to-the body about the diet
μήπω τελείως καταπεσόντα; ἐὰν δὲ καὶ κακοεκτῇ
not-yet wholly fallen-down if and also be-in-bad-condition
τις πρὸς τὸ σύνηθες βρῶμα, ἐὰν δὲ καὶ μηδὲν πάσχων
someone toward the accustomed food if and also nothing suffering
τις, παραιτῆσαι τόδε τὸ βρῶμα, ὡς τόδε πάθος ποιοῦν,
someone to-decline this the food as this passion making
εἰ καλῶς ποιεῖ;
whether well he-does

Ἀπόκρισις.

answer

Ἐὰν ἴδῃ ἄνθρωπος ἑαυτὸν μὴ ὀχλούμενον ὑπὸ πάθους,

if see (a)-man himself not troubled by passion

μηδὲ πολεμούμενον, ὀφείλει συγκαταβαίνειν τῷ σώματι

nor warred-on he-ought to-condescend to-the body

μικρόν· ἐὰν δὲ πολεμῆται, οὐχί. Φανερὸν γάρ ἐστι, ὅτι καὶ

(a)-little if but he-be-warred-on no clear for is that also

ἡ φαινομένη αὕτη ἀσθένεια τῶν δαιμόνων ἐστίν. Ἐν τῇ

the apparent this weakness of-the demons is in the

ἀληθινῇ γὰρ ἀσθενείᾳ τῇ ὑπὸ τοῦ Θεοῦ χαυνοῦται καὶ

true for weakness the(-weakness) from — God is-slackened also

ὁ πόλεμος. Ὥστε συμφέρει ὅπου πόλεμος, καταπονῆσαι

the war so-that it-profits where (there-is)-war to-wear-down

τὸ σῶμα, κἂν ἐμπέσῃ εἰς ἀῤῥωστίαν· ἐκβάλλει γὰρ τὴν

the body even-if it-fall into sickness it-casts-out for the

ψυχήν. Ἐὰν δὲ φανερὰ ᾖ ἡ αἰτία τῆς ἀνωμαλίας, καὶ εἰ

soul(-'s-war) if but evident be the cause of-the irregularity and if

ἐξ ὁδοιπορίας τυχόν, ἀπὸ τραυμάτων βαρέων ἀσθενήσει τὸ

from journeying perhaps from wounds heavy be-ill the

σῶμα, ὀφείλει συγκαταβαίνειν, σεμνῶς μέντοι καὶ μὴ ὑπὲρ

body he-ought to-condescend soberly however and not beyond

τὸ δέον· ἐπεὶ καὶ οἱ δαίμονες τὸ ἑαυτῶν σμήχουσιν.

the needful since also the demons the(-thing) of-themselves furbish(-up)

Εἰς δὲ τὴν κακοεξίαν, ἔστιν ὅτε δύναταί τις ἀναγκάσαι

in but the bad-condition there-is when can someone to-compel

ὀλίγον τὸν λογισμόν. Ἐὰν δὲ οὐ δύναται, συγκαταβαίνει

(a)-little the thought if but not he-can he-condescends

ὀλίγον. Ἀσθένεια γάρ ἐστι καὶ αὐτή. Ἐὰν δέ τις μάθῃ, ὅτι

(a)-little (a)-weakness for is also it if and someone learn that

τόδε τὸ βρῶμα ποιεῖ πάθος, οὐκ ὀφείλει φαγεῖν ἀπ' αὐτοῦ·

this the food makes passion not he-ought to-eat of it

ἥττημα γὰρ αὐτῷ εὑρίσκεται, καὶ φυλάξαι ὀφείλει.
(a)-defeat for to-him it-is-found and to-guard-against(-it) he-ought
Σπούδασον μὴ εἰς λήθην βαλεῖν, καὶ πιστεύων μετὰ
be-eager not into forgetfulness to-cast(-it) and believing with
τῶν ὑπὸ Θεοῦ βοηθουμένων καὶ σωζομένων, ὅτι σώζῃ.
the(-ones) by God helped and saved that you-are-saved
Ἐρώτησις.
question
Ἐὰν συνεσθίων τοῖς ἀδελφοῖς τάχιον λάβω τὴν χρείαν
if eating-with the brothers sooner I-take the need
μου· καλόν ἐστιν, ἵνα ἀναστῶ, ἢ μείνω μέχρι πάντες
my good is-it that I-rise or remain until all
ἀναστῶσιν; Ἐὰν δὲ τὸ μέτρον τοῦ ἄρτου μου συμμετρήσω
rise if and the measure of-the bread my I-measure-out
τοῖς ὄψοις πᾶσι, κρεῖττον ποιῶ;
to-the relishes all better do-I-do
Ἀπόκρισις.
answer
Καθήμενος εἰς τὴν τράπεζαν, ἐὰν ἴδῃς ὅτι ἐγένετό σου ἡ
sitting at the table if you-see that has-come-about your the
χρεία, καὶ οὐ δύνασαι καθίσαι μὴ τρώγων, ἀνάστα· τὸ δὲ
need and not you-can to-sit not eating rise the but
καθίσαι καὶ μὴ φαγεῖν, μεῖζον αὐτοῦ ἐστι· τὸ δὲ ἀπεκτεῖναι
to-sit and not to-eat greater than-it is the and to-stretch-out
τὸ βουκίον σου εἰς ὅλα τὰ ἑψητά, κάλλιον τῶν δύο ἐστίν.
the morsel your to all the boiled(-dishes) better than-the two is
Ἐρώτησις.
question
Τί ποιήσω ὅτι φοβοῦμαι τὴν αἰσχύνην τῆς ἀτιμίας, καὶ
what shall-I-do that I-fear the shame of-the dishonor and
εἰς συντυχίαν δὲ ἂν ἐμπέσω μετά τινων, πάνυ ἕλκομαι
into (a)-meeting and if I-fall with some very I-am-drawn

εἰς αὐτήν, καὶ αἰχμαλωτίζομαι, ὡς σχεδὸν ἐπιλανθάνεσθαι
into it and I-am-taken-captive so-as almost to-forget
ἐμαυτοῦ, ἀεὶ δὲ καὶ ὡς αἰσχύνομαι ἀφεῖναι αὐτούς;
myself always and also as I-am-ashamed to-leave them
Ἀπόκρισις.
answer
Ἐὰν συντείνῃ εἰς οἰκοδομήν, καὶ οὐ γίνεται ἐκκοπὴ
if it-tend to edification and not comes-about (a)-cutting-off
ἀναγκαιοτέρου πράγματος, στῆθι ἕως οὗ διαλέγεται· εἰ δὲ
of-(a)-more-necessary thing stand until — he-converses if but
ἀνόνητός ἐστιν, εἰπέ· Συγχώρησον, ἐγὼ τέως ἀσθενής
useless it-is say forgive(-me) I meanwhile weak
εἰμι. Περὶ δὲ τῆς αἰσχύνης ἐννόει τὴν πάνδημον ἐπὶ
am about but the shame consider the all-public(-shame) at
τοῦ Κυρίου μέλλουσαν ἔσεσθαι τοῖς ἁμαρτωλοῖς, καὶ τὴν
the Lord about to-be for-the sinners and the
πρόσκαιρον ἀντ᾽ οὐδενὸς ἥγησαι.
temporary(-shame) for nothing consider

Τοῦ αὐτοῦ ἁγίου Δωροθέου, ἑρμηνεία τινῶν ῥητῶν τοῦ ἁγίου Γρηγορίου, ψαλλομένων μετὰ τροπαρίων εἰς τὸ ἅγιον Πάσχα

XXII · ON A HYMN OF GREGORY FOR EASTER

Dorotheos explains Gregory's Easter lines: we should offer ourselves as living sacrifices.

Ἡδέως ἐλάλουν ὑμῖν ὀλίγα περὶ τῶν ψαλμῶν ὧν 1
gladly I-would-speak to-you (a)-few(-things) about the psalms which
ψάλλομεν, ἵνα μὴ ἀπομετεωρίζεσθαι πρὸς τὸ μέλος,
we-sing that not to-be-distracted toward the tune
ἀλλ' ἵνα καὶ αὐτὸς ὁ νοῦς ὑμῶν κατὰ ἀναλογίαν
but that also the-very the mind your by proportion
συμπεπύρωται τῇ δυνάμει τῶν λόγων. Τί ἐψάλλομεν
be-set-on-fire-with the power of-the words what did-we-sing
ἄρτι; Ἀναστάσεως ἡμέρα· καρποφορήσωμεν ἡμᾶς αὐτούς.
just-now of-resurrection (the)-day let-us-offer-as-fruit us ourselves
Ἐπειδὴ τὸ παλαιὸν οἱ υἱοὶ Ἰσραὴλ ἑορταῖς ἢ ταῖς
since the old(-time) the sons of-Israel at-feasts or at-the
πανηγύρεσι προσέφερον δῶρα τῷ Κυρίῳ κατὰ νόμον,
festivals offered gifts to-the Lord according-to (the)-law
οἷον, θυσίας, ὁλοκαυτώματα, ἀπαρχάς, καὶ ὅσα
such-as sacrifices whole-burnt-offerings first-fruits and as-many(-things-as)
τοιαῦτα· παραινεῖ ὑμῖν ὁ ἅγιος Γρηγόριος ἑορτάσαι
such(-are) exhorts you the holy Gregory to-feast
ὥσπερ ἐκεῖνοι τῷ Κυρίῳ, καὶ παρακελεύεται λέγων·
as those(-men) to-the Lord and urges(-us) saying
Ἀναστάσεως ἡμέρα· ἀντί, τῆς ἁγίας ἑορτῆς ἡμέρα, θείας
of-resurrection (the)-day instead-of the holy feast (a)-day of-divine
πανηγύρεως ἡμέρα, τοῦ Πάσχα τοῦ Χριστοῦ ἡμέρα. Τί
festival (a)-day of-the Passover — of-Christ (a)-day what

ἐστι Πάσχα Χριστοῦ; Τὸ Φασὲχ ἐποίησαν υἱοὶ Ἰσραήλ,
is (the)-Passover of-Christ — Phasech made (the)-sons of-Israel
ὅτε ἐξῆλθον ἐκ τῆς Αἰγύπτου· τὸ δὲ νῦν Πάσχα ὃ
when they-went-out from — Egypt the but now Passover which
προτρέπεται ἡμᾶς ὁ ἅγιος Γρηγόριος ἑορτάσαι, ἡ ψυχὴ
urges us the holy Gregory to-feast the soul
ἐπιτελεῖ, ἢ ἐξέρχεται ἀπὸ τῆς νοητῆς Αἰγύπτου, τοῦτ'
accomplishes or it-goes-out from the spiritual Egypt that
ἔστι, τῆς ἁμαρτίας. Ὅτε γὰρ διαβαίνει ἡ ψυχὴ ἀπὸ τῆς
is the sin when for crosses the soul from the
ἁμαρτίας πρὸς τὴν ἀρετήν, τότε ποιεῖ τὸ Φασὲχ τῷ
sin to the virtue then it-makes — Phasech to-the
Κυρίῳ, ὡς εἶπεν Εὐάγριος. Πάσχα Κυρίου, διάβασις ἀπὸ
Lord as said Evagrius (the)-Passover of-(the)-Lord (is)-crossing from
κακίας. Σήμερον οὖν Πάσχα Κυρίου, λαμπρᾶς ἑορτῆς
vice today then (is-the)-Passover of-(the)-Lord of-(the)-bright feast
ἡμέρα, τῆς Χριστοῦ ἀναστάσεως ἡμέρα, τοῦ τὴν
(the)-day — of-Christ resurrection (the)-day of-the(-one) the
ἁμαρτίαν ἀνασταυρώσαντος, καὶ ὑπὲρ ἡμῶν ἀποθανόντος
sin having-crucified and for us having-died
καὶ ἀναστάντος. Προσενέγκωμεν οὖν καὶ ἡμεῖς δῶρα
and having-risen let-us-offer then also we gifts
τῷ Κυρίῳ θυσίας, ὁλοκαυτώσεις, μὴ ἀλόγων ζώων,
to-the Lord sacrifices whole-burnt-offerings not of-irrational animals
ὧν Χριστὸς οὐ βούλεται· θυσίαν γὰρ καὶ προσφορὰν
which Christ not wishes sacrifice for and offering
ἀλόγων οὐκ ἐθέλησε, καὶ ὁλοκαυτώματα μόσχων
of-irrational(-beasts) not he-willed and whole-burnt-offerings of-calves
καὶ προβάτων οὐκ εὐδόκησε. Καὶ Ἡσαΐας λέγει· Τί
and sheep not he-was-pleased(-with) and Isaiah says what
μοι πλῆθος τῶν θυσιῶν ὑμῶν; λέγει Κύριος, καὶ τὰ
to-me (is-the)-multitude of-the sacrifices your says (the)-Lord and the

ἑξῆς. Ἀλλ᾽ ἐπεὶ ὁ Ἀμνὸς τοῦ Θεοῦ ἐτύθη ὑπὲρ
following(-words) but since the Lamb — of-God was-sacrificed for
ἡμῶν, κατὰ τὸν Ἀπόστολον λέγοντα· Καὶ γὰρ τὸ Πάσχα
us according-to the Apostle saying and for the Passover
ἡμῶν ἐτύθη Χριστός, ἵνα ἄρῃ τὴν ἁμαρτίαν τοῦ
our was-sacrificed Christ that he-might-take-away the sin of-the
κόσμου, καί· Κατάρα ὑπὲρ ἡμῶν γέγονε, κατὰ τὸ
world and (a)-curse for us he-became according-to the(-thing)
γεγραμμένον· Ἐπικατάρατος πᾶς ὁ κρεμάμενος
written cursed (is)-every(-one) the(-one) hanging
ἐπὶ ξύλου· ἵνα ἡμᾶς ἐξαγοράσῃ ἐκ τῆς κατάρας τοῦ
on (a)-tree that us he-might-redeem from the curse of-the
νόμου, καί, ἵνα υἱοθεσίαν ἀπολάβωμεν· ὀφείλομεν καὶ ἡμεῖς
law and that adoption we-might-receive we-ought also we
τί ποτε ἀρέσκον αὐτῷ προσενέγκαι δῶρον ἡμῶν.
something at-all pleasing to-him to-offer (as)-gift our
Ποῖον οὖν δῶρον, ἢ ποίαν θυσίαν ὀφείλομεν προσενέγκαι 2
what then gift or what sacrifice ought-we to-offer
τῷ Χριστῷ, ἐν τῇ τῆς ἀναστάσεως ἡμέρᾳ, ἵνα ἀρέσῃ αὐτῷ,
— to-Christ on the of-the resurrection day that it-please him
ἐπειδὴ οὐ βούλεται ἀλόγων ζώων θυσίας; Αὐτὸς πάλιν ὁ
since not he-wishes of-irrational animals sacrifices himself again the
ἅγιος καὶ τοῦτο διδάσκει ἡμᾶς· εἰπὼν γάρ· Ἀναστάσεως
holy(-man) also this teaches us having-said for of-resurrection
ἡμέρα, ἐπήγαγε, καρποφορήσωμεν ἡμᾶς αὐτούς· ὡς λέγει
(the)-day he-added let-us-offer-as-fruit us ourselves as says
καὶ ὁ Ἀπόστολος· Παραστήσατε τὰ σώματα ὑμῶν θυσίαν
also the Apostle present the bodies your (a)-sacrifice
ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Κυρίῳ, τὴν λογικὴν λατρείαν
living holy well-pleasing to-the Lord the reasonable worship
ὑμῶν. Πῶς οὖν ὀφείλομεν παραστῆσαι τὰ σώματα ἡμῶν
your how then ought-we to-present the bodies our

θυσίαν ζῶσαν, ἁγίαν τῷ Θεῷ; Τῷ μηκέτι ποιεῖν τὰ
(a)-sacrifice living holy — to-God by-the no-longer to-do the
θελήματα τῆς σαρκὸς καὶ τῶν διανοιῶν ἡμῶν· ἀλλὰ
wills of-the flesh and of-the thoughts our but
πνεύματι περιπατεῖν, καὶ ἐπιθυμίαν σαρκὸς μὴ ἐκτελεῖν.
by-(the)-Spirit to-walk and (the)-desire of-(the)-flesh not to-fulfill
Τοῦτο γάρ ἐστι τὸ νεκρῶσαι τὰ μέλη τὰ ἐπὶ τῆς γῆς.
this for is the to-mortify the members the(-ones) on the earth
Αὕτη λέγεται θυσία ζῶσα· ἐπειδὴ τὸ ἄλογον τὸ εἰς
this is-called (a)-sacrifice living since the irrational(-beast) the(-one) to
θυσίαν ἀπαγόμενον, ἐν αὐτῷ θυσιάζεται καὶ ἀποθνήσκει. Οἱ
sacrifice led-away in it is-sacrificed and dies the
ἅγιοι ἑαυτοὺς καρποφοροῦντες τῷ Θεῷ, ζῶντες θυσιάζουσι
saints themselves offering-as-fruit — to-God living sacrifice
τῷ Θεῷ ἑαυτοὺς καθ' ἑκάστην ἡμέραν, ὡς λέγει Δαβίδ, Ὅτι
— to-God themselves by each day as says David that
ἕνεκα σοῦ θανατούμεθα ὅλην τὴν ἡμέραν, ἐλογίσθημεν,
for-the-sake-of you we-are-put-to-death all the day we-were-reckoned
ὡς πρόβατα σφαγῆς. Τοῦτό ἐστιν ὃ λέγει ὁ ἅγιος
as sheep of-slaughter this is what says the holy
Γρηγόριος· Καρποφορήσωμεν ἡμᾶς αὐτούς, τοῦτ' ἔστι,
Gregory let-us-offer-as-fruit us ourselves that is
θυσιάσωμεν ἡμᾶς ἑαυτούς, θανατώσωμεν ἡμᾶς ἑαυτοὺς ὅλην
let-us-sacrifice us ourselves let-us-put-to-death us ourselves all
τὴν ἡμέραν, καθὼς καὶ οἱ ἅγιοι πάντες ἕνεκεν Χριστοῦ
the day as also the saints all for-the-sake-of Christ
τοῦ Θεοῦ ἡμῶν, ἕνεκεν τοῦ ὑπὲρ ἡμῶν ἀποθανόντος.
— God our for-the-sake-of the(-one) for us having-died
Πῶς δὲ ἐθανάτωσαν ἑαυτούς; Μὴ ἀγαπήσαντες τὸν
how and did-they-put-to-death themselves not having-loved the
κόσμον μηδὲ τὰ ἐν κόσμῳ, καθὼς λέγει ἐν ταῖς
world nor the(-things) in (the)-world as it-says in the

καθολικαῖς Ἐπιστολαῖς· ἀλλ᾽ ἀποταξάμενοι τῇ ἐπιθυμίᾳ τῆς
catholic Epistles but having-renounced the desire of-the
σαρκὸς καὶ ἐπιθυμίᾳ τῶν ὀφθαλμῶν, καὶ τῇ ἀλαζονείᾳ τοῦ
flesh and (the)-desire of-the eyes and the pride of-the
βίου· τοῦτ᾽ ἔστι φιληδονίας, φιλαργυρίας, κενοδοξίας, καὶ
life that is love-of-pleasure love-of-money vainglory and
ἄραντες τὸν σταυρὸν καὶ ἀκολουθήσαντες τῷ Χριστῷ, καὶ
having-taken-up the cross and having-followed — Christ and
τὸν κόσμον ἑαυτοῖς σταυρώσαντες, καὶ ἑαυτοὺς τῷ κόσμῳ.
the world to-themselves having-crucified and themselves to-the world
Περὶ τούτων λέγει ὁ Ἀπόστολος· Οἱ δὲ τοῦ Χριστοῦ
about these(-men) says the Apostle the(-ones) and — of-Christ
Ἰησοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ
Jesus the flesh crucified with the passions and
ταῖς ἐπιθυμίαις. Ἰδοὺ οὕτως ἐθανάτωσαν ἑαυτοὺς οἱ ἅγιοι.
the desires behold thus put-to-death themselves the saints
Πῶς δὲ καὶ ἐκαρποφόρησαν ἑαυτούς; Μὴ ζήσαντες ἑαυτοῖς, 3
how and also did-they-offer-as-fruit themselves not having-lived for-themselves
ἀλλὰ ταῖς ἐντολαῖς τοῦ Θεοῦ, ἑαυτοὺς καταδουλώσαντες,
but to-the commandments — of-God themselves having-enslaved
καὶ ἀφέντες τὰ θελήματα αὐτῶν ἐν τῇ ἐντολῇ καὶ
and having-left the wills their in the commandment and
τῇ ἀγάπῃ τοῦ Θεοῦ καὶ τοῦ πλησίον, καθὼς εἶπεν
the love — of-God and of-the neighbor as said
ὁ ἅγιος Πέτρος· Ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα καὶ
the holy Peter behold we left all(-things) and
ἀκολουθήσαμέν σοι. Τί ἀφῆκε; Μὴ γὰρ χρήματα εἶχεν,
followed you what did-he-leave not for money did-he-have
ἢ κτήματα, ἢ χρυσόν, ἢ ἄργυρον· σαγήνην εἶχε καὶ
or possessions or gold or silver (a)-net he-had and
αὐτὴν πεπαλαιωμένην, ὡς εἶπεν ὁ ἅγιος Ἰωάννης ὁ
it worn-out as said the holy John —

Χρυσόστομος, καὶ ἀφῆκεν, ὡς εἶπε, πάντα τὰ θελήματα
Chrysostom and he-left as he-said all the wills
αὐτοῦ, πᾶσαν προσπάθειαν τοῦ αἰῶνος τούτου, ὡς εἶναι
his every attachment of-the age this so-as to-be
